οὐχ ὑπόκρισιν τὴν ὄψιν, οὐδὲ ὡς φλυαρεῖν ἐγνωκὼς αὐτὰ διεξήει· καὶ ταῦτα ἐν τῷ πολέμῳ, καὶ ἀπογνώσει πραγμάτων, περιεστώτων πολεμίων· ἀλλά τι καὶ χρήσιμον εἶχεν ἡ διήγησις.

ιή. Καὶ τοίνυν κἀγὼ τοῦτον ὄνειρον ὑμῖν διηγησάμην ἐκείνου
ἕνεκα, ὅπως οἱ νέοι πρὸς τὰ βελτίω τρέπωνται, καὶ παιδείας
ἔχωνται· καὶ μάλιστα, εἴ τις αὐτῶν ὑπὸ πενίας ἐθελοκακεῖ, καὶ
πρὸς τὰ ἥττω ἀποκλίνει, φύσιν οὐκ ἀγεννῆ διαφθείρων. Ἐπιῤ- 2
ῥωσθήσεται εὖ οἶδ᾽ ὅτι κἀκεῖνος, ἀκούσας τοῦ μύθου, ἱκανὸν ἑαυτῷ παράδειγμα ἐμὲ προστησάμενος, ἐννοῶν οἷος μὲν ὢν πρὸς τὰ κάλλιστα ὥρμησα, καὶ παιδείας ἐπεθύμησα, μηδὲν ἀποδειλιάσας πρὸς τὴν πενίαν τὴν τότε, οἷος δὲ πρὸς ὑμᾶς ἐπανελήλυθα, εἰ καὶ μηδὲν ἄλλο, οὐδενὸς γοῦν τῶν λιθογλύφων ἀδοξότερος.

# ΕΚ ΤΩΝ ΤΟΥ ΠΛΑΤΩΝΟΣ ΔΙΑΛΟΓΩΝ.

## Α΄. ΕΥΘΥΦΡΩΝ, Η ΠΕΡΙ ΟΣΙΟΥ (*).

### ΠΕΙΡΑΣΤΙΚΟΣ.

*Εὐθύφρων, καὶ Σωκράτης.*

ά. Τί νεώτερον, ὦ Σώκρατες, γέγονεν, ὅτι σὺ τὰς ἐν Λυκείῳ καταλιπὼν διατριβὰς ἐνθάδε νῦν διατρίβεις, περὶ τὴν τοῦ βασιλέως στοάν; οὐ γάρ που καὶ σοί δίκη τις οὖσα τυγχά-

πεσεῖν εἰς τὴν πατρῴαν οἰκίαν, καὶ ἐκ τούτου λάμπεσθαι πᾶσαν. — Οὐχ ὑπόκρ. τὴν ὄψ.) Ἐννοεῖται· οὖσαν· ἵν᾽ ἦ ἴστε γὰρ ὅτι ἡ ὄψις ἐκείνη οὐκ ἦν ὑπόκρισις, οὐδὲ διεξήει ταῦτα Ξενοφῶν, ὡς φλυαρεῖν ἐγνωκώς. — Καὶ ταῦτα) Διεξήει ἐν τῷ πολέμῳ· ὅτι, τῶν στρατηγῶν καταληφθέντων καὶ ἀναιρεθέντων, ἐν μέσῳ κατελείφθησαν Ἕλληνες ὡς μύριοι πολεμίων ἀπειραρίθμων.

ιή. Τοῦτον ὄν.) Ἀνάρθρως διὰ τὴν Ἀντωνυμίαν. — Ἐθελοκακ.) Πένης δηλ. ὤν, οὐ σπεύδει πρὸς παιδείαν, καὶ διαφθείρει φύσιν εὐφυῶς τυχὸν πρὸς παιδείαν ἔχουσαν

2. Εὖ οἶδ᾽ ὅτι) Τὸ παρ᾽ ἡμῖν εἰμὶ πληροφορημένος. — Εἰ καὶ μηδὲν ἄλλο) Μέγα δηλ. εἰμί· ἀλλ᾽ οὖν οὐκ εἰμὶ ἀδοξότερός τινος τῶν λιθογλύφων· τὸ γοῦν ἐναντιωματικόν· ἔστι δὲ καὶ ἐλαττωτικόν πως.

(*) Εὐθύφρων μὲν ἐπιγράφεται ὁ διάλογος οὗτος, ὅτι Εὐθύφρονά εἶναι λέγει διαλεγόμενον Σωκράτει περὶ Ὁσίου. Πειραστικὸς δὲ, ὅτι πειρᾶται Σωκράτης Εὐθύφρονος κατὰ τοῦ πατρὸς ἔγκλημα ἀνθρωποκτονίας ἐπάγοντος.

ά. Νεώτερον) Ἐνταῦθα τὸ συγκριτικὸν ἀντὶ ἁπλῶς θετικοῦ λαμβάνεται· ἔθος δὲ τοῦτο παρ᾽ Ἕλλησι. — Διατριβὰς) Τὰς συνομιλίας λέγει τοῦ Σωκράτους μετὰ τῶν σοφιστῶν. Ἔθος γὰρ ἦν Σωκράτει ἐν τῷ Λυκείῳ, γυμνάσιον δὲ τοῦτο ἐν Ἀθήναις, συνεχῶς διατρίβειν ἕνεκεν τῶν σοφιστῶν τῶν ἐκεῖ διδασκόντων· ἵν᾽ ἐλέγχῃ αὐτῶν τὴν ἀμαθίαν· καὶ ἐπειδὴ πολλοὶ νέοι ἐκεῖ ἐτύγχανον, τοῖς ἑαυτοῦ λόγοις ἤτοι διεγείρῃ, ἢ παρορμᾷ πρὸς ἀρετήν. Αἰσχ. Σωκρ. Β΄. ις΄. — Τὴν τοῦ βασιλέως στοὰν) Στοὰ ἦν ἐν τῇ ἀγορᾷ ἐν Ἀθήναις βασίλειος καλουμένη, ἥ φησι Πολυδεύκης Η΄. ἀπὸ τοῦ δευτέρου ἄρχοντος βασιλέως καλουμένου· πλησίον τῆς στοᾶς τοῦ Διὸς τοῦ ἐλευθερίου· ταύτην Πλάτων βασιλέως στοὰν λέγει. — Πρὸς τὸν βασιλ.) Ὁ γὰρ βασιλεὺς οὐ μόνον μυστηρίων προέστηκε καὶ ἀγώνων, καὶ τὰ περὶ θυσίας φυλάττει, ἀλλ᾽ ἐδίκαζε· καὶ ἀσεβείας, καὶ φόνου. Πολυδεύκ. Η΄. ὅθεν ὁ μὲν Σωκράτης ἐκεῖ διέτριβεν, ὡς ὑπὸ Μελί-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ
Ε.Υ.Δ. της Ε.Π.Ε.Α.Ε.Κ. ΙΩΑΝΝΙΝΑ 2006

νει πρὸς τὸν βασιλέα, ὥσπερ ἐμοί. — Σωκ. Οὔτοι δὴ Ἀθη- 2
ναῖοί γε, ὦ Εὐθύφρων, δίκην αὐτὴν καλοῦσιν, ἀλλὰ γραφήν. —
Εὐθ. Τί φής; γραφήν σέ τις, ὡς ἔοικε, γέγραπται· οὐ γάρ που
ἐκεῖνό γε καταγνώσομαι, ὡς σύ γε ἕτερον. — Σωκ. Οὐ γάρ οὖν. 3
— Εὐθ. Ἀλλά σε ἄλλος; — Σωκ. Πάνυ γε. — Εὐθ. Τίς οὗ-
τος; — Σωκ. Οὐδ' αὐτὸς πάνυ τι γιγνώσκω, ὦ Εὐθύφρον,
τὸν ἄνδρα· νέος γάρ τίς μοι φαίνεται καὶ ἀγνώς· ὀνομάζουσι
μέντοι αὐτόν, ὡς ἐγῷμαι, Μέλιτον. Ἔστι δὲ τὸν δῆμον Πι-
θεύς· εἴ τιν' ἐν νῷ ἔχεις Πιθέα Μέλιτον, οἷον τετανότριχα, καὶ
οὐ πάνυ εὐγένειον, ἐπίγρυπον δέ. — Εὐθ. Οὐκ ἐννοῶ, ὦ Σώ-
κρατες, ἀλλὰ δὴ τίνα γραφήν σε γέγραπται; — Σωκ. Ἥν τινα; 4
οὐκ ἀγεννῆ, ἔμοι γε δοκεῖ. Τὸ γάρ, νέον ὄντα, τοσοῦτον πρᾶγ-
μα ἐγνωκέναι, οὐ φαῦλόν ἐστιν. Ἐκεῖνος γάρ, ὥς φησιν, οἶδε
τίνα τρόπον οἱ νέοι διαφθείρονται, καὶ τίνες οἱ διαφθείροντες
αὐτούς. Καὶ κινδυνεύει σοφός τις εἶναι· καὶ τὴν ἐμὴν ἀμαθίαν 5
κατιδών, ὡς διαφθείροντος τοὺς ἡλικιώτας αὐτοῦ, ἔρχεται κα-
τηγορήσων μου, ὥσπερ πρὸς μητέρα, πρὸς τὴν πόλιν. Καὶ 6
φαίνεταί μοι τῶν πολιτικῶν μόνος ἄρχεσθαι ὀρθῶς· ὀρθῶς γάρ ἐστι,

---

του δικαζόμενος ἀσεβείας· ὁ δ' Εὐθύφρων, ὡς κατηγορήσων τὸν πατέρα φόνου.

2. Οὔτοι . . . ἀλλὰ γραφήν) Δίκη μὲν λέγεται ἡ ὑπὲρ ἰδιωτικῶν ἀδικημάτων κρίσις· γραφὴ δὲ ἡ ὑπὲρ δημοσίων· ὅθεν Σωκράτης ἐπιδιορθούμενος τὸ ὄνομα λέγει, ὅτι οὐ τυγχάνει αὐτῷ δίκη, ἀλλά, καθὰ Ἀθηναῖοι λέγουσι, γραφή· τὸ γὰρ Δίκη ἔστι καὶ ἐπὶ πάσης κρίσεως κοινῶς ληφθῆναι, εἴτε δημοσίου, εἴτε ἰδίας. Τὸ δὲ Οὔτοι δὴ ἐστιν, ἀντὶ τοῦ, Οὐδήπου. — Γραφήν σε τις . . . γέγραπται) Γράφομαί σε γραφὴν δηλοῖ τὸ Κατηγορῶ σου δημοσίων ἀδικημάτων· καὶ ἔστιν Ἀττικισμός· τὸ δὲ Γέγραπται παθητικὸς παρακείμενος ἀντὶ μέσου· ἔνθα γὰρ μέσων ἀποροῦμεν παρακειμένων, ἔστι καὶ τοῖς παθητικοῖς χρῆσθαι ἀντὶ μέσων· οὕτω καί, πεποίημαι ταῦτα καὶ ἄλλα. — Οὐ γάρ που) Πάντως δηλ. οὐ καταγνώσομαί σου ὡς σὺ γέγραψαι γραφὴν ἕτερον· τὸ δὲ Σοῦ ἐννοεῖται διὰ τὸ προστεθειμένον ἑξῆς Σύ· οἱ γὰρ Ἕλληνες οἷς οὐ βούλονται τὸ αὐτὸ τιθέναι· ὅθεν ὃ εὐχερῶς ὑπονοεῖται, οὐ τιθέασι. — Οὐ γάρ οὖν) Τὸ Γὰρ οὖν βεβαιωτικόν.

3. Πάνυ τι) Τὸ παρ' ἡμῖν, Τόσον πολλά· τὸ γὰρ Τι μερικὸν ὂν συστέλλει τὸ σημαινόμενον τοῦ Πάνυ· ἔστι δὲ τὸ Τι κατ' ἔλλειψιν τῇ Κατά· οἷον· οὐ κατά τι μέγα γινώσκω τὸν ἄνδρα. — Καὶ ἀγνώς) Ἀγνώς, ἀγνῶτος· δηλοῖ τὸ ἄγνωστος, ὁ μὴ δηλαδὴ γνωστός· τὸ δὲ ἁγνός, ἁγνοῦ· τὸ καθαρός. — Πιθεύς) Ὁ μὲν Ἁρποκρατίων· δῆμος τῆς Κεκροπίδος φυλῆς φησιν ἡ Πιθίς· ἐξ οὗ καὶ Σουίδας καὶ Βαρῖνος. Στέφανος δὲ ὁ Βυζάντιος ἐν τοῖς Ἐθνικοῖς Πίθος, φησίν, ὁμωνύμως τῷ ἀγγείῳ, δῆμος τῆς Κεκροπίδος φυλῆς· κέκληται δὲ ἀπό τινος Πίθου, τῶν Πίθων αὐτόθι γενομένων· ὁ δημότης Πιθεὺς τὰ τοπικὰ Ἐκ Πιθέων, εἰς Πιθέων, ἐν Πυθέων· κἀντεῦθεν τινὲς διορθοῦσι τὸ Πιτθεύς, Πιθεύς· καὶ Πιτθέα, Πιθέα. Ὁ δὲ Σχολιαστὴς Πλάτωνος Δῆμόν φησιν εἶναι Αἰγηΐδος φυλῆς Ἀθήνησιν, ἐξ οὗ οὗτος. — Τετανότριχ.) Τετανόθριξ, καὶ τανύθριξ λέγεται ὁ προμήκεις ἔχων καὶ καθειμένας τὰς τῆς κεφαλῆς τρίχας. — Εὐγένειον) Οὐκ εὖ ἔχοντα δηλ. τὸν πώγωνα.

4. Ἥν τινα) Ἐρωτᾷς τίς ἐστιν ἡ γραφή, ἥν με γέγραπται, ἀποκρίνομαι ὅτι οὐκ ἀγεννὴς αὕτη κατὰ τὸ ἐμοὶ δοκοῦν.

5. Καὶ κινδυν.) Συνήθης ἡ ἔκφρασις αὕτη παρ' Ἕλλησιν ἐν τοῖς τοιούτοις. — Κατηγορήσων) Ἐμοῦ ὡς διαφθείροντος· οὐ προσετέθη δὲ τὸ Ἐμοῦ ὡς δῆλον ἐκ τῆς ἐννοίας.

6. Ὀρθῶς γὰρ ἐστ.) Ἀπὸ κοινοῦ τὸ



Ε.Υ. ΔΗΤΙΣ Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τῶν νέων πρῶτον ἐπιμεληθῆναι, ὅπως ἔσονται ὅτι ἄριστοι, ὥς
περ γεωργὸν ἀγαθὸν τῶν νέων φυτῶν εἰκὸς πρῶτον ἐπιμελη-
7 θῆναι, μετὰ δὲ τοῦτο καὶ τῶν ἄλλων· καὶ δὴ καὶ Μέλιτος
ἴσως πρῶτον μὲν ἡμᾶς ἐκκαθαίρει, τοὺς τῶν νέων τὰς βλά-
στας διαφθείροντας, ὥς φησιν· ἔπειτα μετὰ τοῦτο δηλονότι
τῶν πρεσβυτέρων ἐπιμεληθεὶς, πλείστων καὶ μεγίστων ἀγαθῶν
αἴτιος τῇ πόλει γενήσεται· ὥς γε εἰκὸς συμβῆναι, ἐκ τοιαύτης
ἀρχῆς ἀρξαμένῳ.

β΄. Εὐθ. Βουλοίμην ἄν, ὦ Σώκρατες· ἀλλ᾽ ὀῤῥωδῶ, μὴ τοὐ-
ναντίον γένηται. Ἀτεχνῶς γάρ μοι δοκεῖ ἀφ᾽ Ἑστίας ἄρχεσθαι
κακουργεῖν τὴν πόλιν, ἐπιχειρῶν ἀδικεῖν σε. Καί μοι λέγε τί
2 καὶ ποιοῦντά σε φησὶ διαφθείρειν τοὺς νέους; — Σωκ. Ἄτοπα,
ὦ θαυμάσιε, ὥς οὕτω γ᾽ ἀκοῦσαι. Φησὶ γάρ ποιητήν εἶναί με
θεῶν· καὶ ὡς καινοὺς ποιοῦντα θεοὺς, τοὺς δ᾽ ἀρχαίους οὐ νο-
3 μίζοντα, ἐγράψατο τούτων αὐτῶν ἕνεκα, ὥς φησι. — Εὐθ. Μαν-
θάνω, ὦ Σώκρατες, ὅτι δὴ σὺ τὸ δαιμόνιον φῂς σαυτῷ ἑκάστοτε γί-
γνεσθαι. Ὡς οὖν καινοτομοῦντός σου περὶ τὰ θεῖα, γέγραπται ταύ-
την τὴν γραφήν· καὶ ὡς διαβαλῶν δὴ ἔρχεται εἰς τὸ δικαστήριον,
4 εἰδὼς ὅτι εὐδιάβολα τὰ τοιαῦτα πρὸς τοὺς πολλούς. Καὶ ἐμοῦ γάρ
τοι, ὅταν τι λέγω ἐν τῇ ἐκκλησίᾳ περὶ τῶν θείων, προλέγων αὐτοῖς
τὰ μέλλοντα, καταγελῶσιν ὡς μαινομένου· καί τοι οὐδὲν ὅ,τι
οὐκ ἀληθὲς εἴρηκα ὧν προεῖπον· ἀλλ᾽ ὅμως φθονοῦσιν ἡμῖν πᾶ-

---

Ἄρχεσθαι· οἷον· τὸ γὰρ ἐπιμελεῖσθαι ὀρθῶς πολιτικῶν πραγμάτων.

7. Ὥς γε εἰκὸς) Καθάπερ δηλ. ἐστὶν εἰκὸς συμβῆναι γενέσθαι τῇ πόλει πολλῶν ἀγαθῶν αἴτιον, εἴ τις ἐκ τοιαύτης ἄρχηται ἀρχῆς.

β΄. Βουλοίμην ἄν) Τὸ παρ᾽ ἡμῖν Δῶη τὸ θεῖον· πολλὰ ηγάπων τοῦτο. — Ὀῤῥωδῶ) Ἀττικὸν δὲ τοῦτο. Ἑλληνικῶς γὰρ λέγεται· δέδοικα, φοβοῦμαι. — Ἀτεχνῶς) Ἀντὶ τοῦ, ἀληθῶς· ὁ δὲ Σχολιαστὴς λέγει. Ἀτεχνῶς, παντελῶς, ἁπλῶς, ἢ καθάπαξ, ἢ τελέως· οἱ δὲ, ἐν ἴσῳ τῷ ὄντι, καὶ τῇ ἀληθείᾳ· οἱ δὲ, δηλοῦν τὸ, Παράπαν, καὶ καθόλου, κατ᾽ ἀλήθειαν. — Ἀφ᾽ Ἑστίας ἄρχεσθ.) Παροιμία ἐπὶ τῶν ἐν δυνάμει γινομένων, καὶ πρώτους ἀδικούντων τοὺς οἰκείους· ἐπεὶ ἔθος ἦν τῇ Ἑστίᾳ πρώτῃ τῶν ἄλλων θεῶν θύειν. Φέρεται δέ τις καὶ περὶ αὐτῆς μῦθος τοιοῦτος. Μετὰ γὰρ τὸ καταλυθῆναι τὴν τῶν Τιτάνων ἀρχὴν, φασὶ, τὸν Δία τὴν βασιλείαν παραλαβόντα, ἐπιτρέψαι τῇ Ἑστίᾳ λαβεῖν, ὅ,τι ἂν βούλοιτο· τὴν δὲ, τὴν παρθενίαν αἰτήσασθαι καὶ τὰς ἀπαρχὰς τῶν ἀνθρώπων. Σχολιαστ. Πλάτ. ὁ δὲ νοῦς τοιοῦτος. Ὅστις ἐπιχειρεῖ ἀδικεῖν σε, οὗτός μοι δοκεῖ ἐν τῷ κακουργεῖν τὴν πόλιν ἄρχεσθαι ἐξ αὐτοῦ τοῦ πρώτου αὐτῆς.

2. Ἐγράψ.) Μὲ τὴν γραφὴν ταύτην δηλ.

3. Μανθάνω) Ὅπερ ἡμεῖς λέγομεν. Καταλαμβάνω. — Ἑκάστοτε) Ἀεὶ δηλ. καὶ καθ᾽ ἡμέραν· περὶ οὗ Φρύνιχος μὲν λέγει. Πάντοτε μὴ λέγε, ἀλλ᾽ ἑκάστοτε, καὶ διαπαντός. Θωμᾶς μάγιστρος δὲ, Πάντοτε οὐδεὶς τῶν Ἀττικῶν, ἑκάστοτε δέ. — Ὡς οὖν καινοτομοῦντός σου) Ἀπολύτως· ἔδει γὰρ εἰπεῖν ὡς οὖν καινοτομοῦντά σε περὶ τὰ θεῖα γέγραπται ταύτην τὴν γραφήν· λέγει γὰρ γέγραπταί σε γραφήν· ἔστι δὲ πολλάκις εὑρεῖν τὰ τοιαῦτα εἰς γενικὴν μεταβάλλοντα ἀπόλυτον, ἐν εἴδει ἀναλύσεως· οἷον· ἐπειδὴ τρόπον τινὰ καινοτομεῖς σὺ, γέγραπταί σε τὴν γραφὴν ταύτην. — Εὐδιάβολα) Εὐκόλως ὑποπίπτοντα εἰς διαβολὴν παρὰ τοῖς πολλοῖς· ὁ γὰρ πολὺς ὄχλος τὰς περὶ τὰ τοιαῦτα διαβολὰς εὐκόλως δέχεται.

ΙΩΑΝΝΙΝΑ 2006

σι τοῖς τοιούτοις. Ἀλλ' οὐδὲν αὐτῶν χρὴ φροντίζειν, ἀλλ' ὁμόσε ἰέναι. 5

γ΄. Σωκ. Ὦ φίλε Εὐθύφρον, ἀλλὰ τὸ μὲν καταγελασθῆναι, ἴσως οὐδὲν πρᾶγμα. Ἀθηναίοις γάρ τοι, ὡς ἐμοὶ δοκεῖ, οὐ σφόδρα 2
μέλει, ἄν τινα δεινὸν οἴωνται εἶναι, μὴ μέν τοι διδασκαλικὸν τῆς αὑτοῦ σοφίας· ὃν δ' ἂν καὶ ἄλλους οἴωνται ποιεῖν τοιούτους, θυμοῦνται εἴτ' οὖν φθόνῳ, ὡς σὺ λέγεις, εἴτε δι' ἄλλο τι. — Εὐθ. Τούτου οὖν πέρι, ὅπως ποτὲ πρὸς ἐμὲ ἔχουσιν, οὐ πάνυ ἐπιθυμῶ πειραθῆναι. — Σωκ. Ἴσως γὰρ σὺ μὲν δοκεῖς 3
σπάνιον σεαυτὸν παρέχειν, καὶ διδάσκειν οὐκ ἐθέλειν τὴν σεαυτοῦ σοφίαν· ἐγὼ δὲ φοβοῦμαι, μὴ ὑπὸ φιλανθρωπίας δοκῶ αὐτοῖς ὅ,τι περ ἔχω, ἐκκεχυμένως παντὶ ἀνδρὶ λέγειν, οὐ μόνον ἄνευ μισθοῦ, ἀλλὰ καὶ προστιθεὶς ἂν ἡδέως, εἴτις μου ἐθέλει ἀκούειν. Εἰ μὲν οὖν, ὃ νῦν δὴ ἔλεγον, μέλλοιέν μου κα- 4
ταγελᾷν, ὥσπερ σὺ φῂς σαυτοῦ, οὐδὲν ἂν εἴη ἀηδὲς παίζοντας καὶ γελῶντας ἐν τῷ δικαστηρίῳ διαγαγεῖν· εἰ δὲ σπουδάσονται, τοῦτ' ἤδη ὅπῃ ἀποβήσεται ἄδηλον, πλὴν ὑμῖν τοῖς μάντεσιν. — Εὐθ. Ἀλλ' ἴσως οὐδὲν ἔσται, ὦ Σώκρατες, πρᾶγ- 5
μα, ἀλλὰ σύ τε κατὰ νοῦν ἀγωνιῇ τὴν δίκην, οἶμαι δὲ καὶ ἐμὲ τὴν ἐμήν.

δ΄. Σωκ. Ἔστι δὲ δή σοι, ὦ Εὐθύφρον, τίς ἡ δίκη; φεύγεις αὐτήν, ἢ διώκεις; — Εὐθ. Διώκω. Σωκ. Τίνα; — Εὐθ. Ὃν

---

5. Ὁμόσε ἰέναι) Ἀποκρατ. ὁμόσ. ταῖς λόγχαις ἰέναι· ἀντὶ τοῦ ἐξ ἐναντίας εἰς τὸ αὐτὸ ἔρχεσθαι καὶ μὴ στρέφεσθαι, μηδὲ φεύγειν.

γ΄. 2. Ἀθηναίοις γάρ τοι) Ὅταν τις δεινὸς περί τι ᾖ, οὐ μέν τοι διδάσκει τὴν αὑτοῦ σοφίαν, ἀδιαφοροῦσιν οἱ Ἀθηναῖοι, καὶ οὐ σφόδρα φροντίζουσι περὶ τούτου· ὅταν μέν τοι γνῶσί τινα δεινὸν ὄντα περί τι, καὶ ποιοῦντα καὶ ἄλλους ὁμοίους αὐτῷ, τότε δὴ θυμοῦνται κατ' ἐκείνου· ἤτοι φθόνῳ, ἢ καὶ ἄλλην τινὰ ἔχοντες αἰτίαν· καὶ κατὰ λέξιν. Καθάπερ ἐμοὶ δοκεῖ, οὐ σφόδρα μέλει τοῖς Ἀθηναίοις, ἂν οἴωνται, ὅτι ἔστι τις δεινὸς περί τι, οὐ μέν τοι διδασκαλικὸς τῆς αὑτοῦ τέχνης· θυμοῦνται δὲ, ἂν οἴωνται, ὅτι ὁ τοιοῦτος καὶ ἄλλους ποιεῖ τοιούτους.

3. Ἐκκεχυμ.) Θεμίστιος Λόγ. κϛ. φησίν· »ὅτι τοὺς λόγους οὐκ ἐν ἀποῤῥήτοις ἐ»ποιεῖτο Σωκράτης, οὐδὲ πρὸς καταμό»νους τοὺς μαθητάς, ἀλλὰ πρὸς πάντας »ἀνθρώπους, ὥς που αὐτός φησιν ἐκκεχυ»μένως.« Τὸ δ' ἐκκεχυμένως οὕτω λέγειν δηλοῖ, ὥστε πάντα διδάσκειν, καὶ οὐδὲν ἀποσιωπᾶν.

4. Ὥσπερ σὺ φῂς σαυτ.) Ὅτι καταγελῶσι σαυτοῦ· εἴρηκε γὰρ Εὐθύφρων ὡς καταγελῶσιν αὐτοῦ ὡς μαινομένου. β΄. 4. τὸ δὲ Σαυτοῦ κατὰ ἀντιμετάθασιν· ἀπὸ γὰρ Εὐθύφρονος εἰς Ἀθηναίους, ἀφ' ὧν εἰς Εὐθύφρονα πάλιν ἀντιμεταβαίνει τὰ περὶ τὸ πρόσωπον. — Πλὴν ὑμῖν τοῖς μάντ.) Ὁ γὰρ Εὐθύφρων εἴρηκεν, ὅτι προλέγει τοῖς Ἀθηναίοις τὰ μέλλοντα. β΄. 4.

5. Ἀλλ' οὐδὲν) Ὁ νοῦς. Ἀλλ' ἴσως, ὦ Σώκρατες, οὐδέν τι πρᾶγμα μέγα ἐστιν, ὅσα ἐγράψατο Μέλιτος· σὺ μέν τοι ἐννοῶν αὐτὸ ὡς μέγα τι, ἔχεις τὸν ἀγῶνα τῆς δίκης μέγαν· καθάπερ ἴσως καὶ ἐγὼ πάσχω τὸ αὐτό, καὶ ἀγωνιοῦμαι τὴν ἐμὴν δίκην κατὰ νοῦν. — Καὶ ἐμὲ τὴν ἐμὴν) Ἀγωνιεῖσθαι δίκην δηλ.

δ΄. Ἔστι δὲ) Οἷον· Τίς δὲ δὴ ἐστί σοι ἡ δίκη;

— Φεύγεις αὐτὴν ἢ διώκεις) Ἀνώνυμος ἐν Ἀττικοῖς φησιν· ὅτι »οἱ Ἀθηναῖοι »ἀντὶ τοῦ εἰπεῖν κατηγορεῖται ὁ δεῖνα

2 διώκων αὖ δοκῶ μαίνεσθαι. — Σωκ. Τί δαί; πετόμενόν τινα διώκεις; — Εὐθ. Πολλοῦ γε δεῖ πέτεσθαι, ὅς γε δὴ τυγχάνει ὢν εὖ μάλα πρεσβύτης. — Σωκ. Τίς οὗτος; — Εὐθ. Ὁ ἐμὸς πατήρ. — Σωκ. Ὁ σὸς, ὦ βέλτιστε; — Εὐθ. Πάνυ μὲν οὖν. —
3 Σωκ. Ἔστι δὲ δὴ τί τὸ ἔγκλημα, καὶ τίνος ἡ δίκη; — Εὐθ. Φόνου, ὦ Σώκρατες. — Σωκ. Ἡράκλεις! ἦπου, ὦ Εὐθύφρον, ἀγνοεῖται ὑπὸ τῶν πολλῶν, ὅπῃ ποτὲ ὀρθῶς ἔχει· οὐ γὰρ οἶμαί γε τοῦ ἐπιτυχόντος εἶναι ὀρθῶς αὐτὸ πρᾶξαι, ἀλλὰ πόῤῥω που ἤδη σοφίας ἐλαύνοντος. — Εὐθ. Πόῤῥω μέν τοι νὴ Δία, ὦ Σώ-
4 κρατες. — Σωκ. Ἔστι δὲ δὴ τῶν οἰκείων τίς ὁ τεθνειὼς ὑπὸ τοῦ σοῦ πατρός; ἢ δῆλα δή; οὐ γὰρ ἄν που ὑπέρ γε ἀλλοτρίου ἐπεξῄησθα [τῷ
5 πατρὶ] φόνου αὐτῷ. — Εὐθ. Γελοῖον, ὦ Σώκρατες, ὅτι οἴει τι διαφέρειν, εἴτε ἀλλότριος, εἴτε οἰκεῖος ὁ τεθνειώς· ἀλλ᾽ οὐ τοῦτο μόνον δεῖ φυλάττειν, εἴτε ἐν δίκῃ ἔκτεινεν ὁ κτείνας, εἴτε μή· καὶ εἰ μὲν ἐν δίκῃ, ἐᾶν· εἰ δὲ μή, ἐπεξιέναι· ἐάν περ ὁ κτείνας συνέστιός σοι καὶ ὁμοτράπεζος ᾖ. Ἴσον γὰρ τὸ μίασμα γίγνεται, ἐὰν ξυνῇς τῷ τοιούτῳ ξυνειδὼς, καὶ μὴ ἀφοσιοῖς σεαυτόν τε καὶ ἐκεῖνον, τῇ δίκῃ ἐπε-
6 ξιών. Ἐπεὶ ὅ, γε ἀποθανὼν πελάτης τις ἦν ἐμός· καὶ ὡς ἐγεωργοῦμεν ἐν τῇ Νάξῳ, ἐθήτευεν ἐκεῖ παρ᾽ ἡμῖν. Παροινήσας οὖν, καὶ ὀργισθεὶς τῶν οἰκετῶν τινι τῶν ἡμετέρων, ἀποσφάττει αὐτόν.
7 Ὁ οὖν πατὴρ, συνδήσας τοὺς πόδας καὶ τὰς χεῖρας αὐτοῦ, καταβαλὼν εἰς τάφρον τινὰ, πέμπει δεῦρο ἄνδρα πευσόμενον τοῦ

---

»κλοπῆς, φεύγει ὁ δεῖνα κλοπῆς λέγουσιν »ὅθεν καὶ ὁ κατήγορος διώκων λέγεται· »καὶ ὁ κατηγορούμενος, φεύγων.«

2. Τί δαί;) Ὁ Δαὶ Ἐρωτηματικὸς τῇ αι γράφεται· ἔμφασιν γὰρ ἔχει, καὶ ἐκτείνει τὸν χρόνον τῆς φωνῆς. Σχολιαστ. Ἀριστοφ. ἐν Πλούτ. στίχ. 156.

— Πολλοῦ γε δεῖ) Ἀντὶ, Οὐδαμῶς ἐστὶ πέτεσθαι. Βαρῖνος γάρ φησιν· ὅτι Πολλοῦ γε καὶ δεῖ λέγουσιν Ἀττικοί, ἀντὶ τοῦ εἰπεῖν. Οὐδαμῶς· προηγησαμένης ἐρωτήσεως.

— Ὁ σός!) Ἐν ἀπορίᾳ ἀναγνωστέον καὶ ἐκ πλήξει.

— Καὶ τίνος ἡ δίκη) Καὶ τίνος ἐγκλήματος.

3. Ἦπου, ὦ Εὐθύφρον) Ὁ νοῦς. Πάντως, ὦ Εὐθύφρον, τοῦτο ἀγνοοῦσιν οἱ πολλοί, ὅπως ἂν δύναταί ποτε ὀρθῶς ἔχειν. Καὶ γὰρ οὐδὲ τοῦ τυχόντος εἶναι οἴομαι τὸ ὀρθῶς δυνηθῆναι πρᾶξαι τοῦτο· ἀλλ᾽ ἀνδρὸς ἴδιον εἶναι νομίζω σοφωτάτου πάνυ.

— Πόῤῥω . . . σοφίας ἐλαύνοντος) Ἀντὶ εἰς τὸ βαθύτατον τῆς σοφίας γενομένου. Βαρῖνος ἐν τῷ Πόῤῥω· ἐνταῦθα δὲ κατ᾽ εἰρωνείαν ὁ λόγος.

— Πόῤῥω μέν τοι) Ὁ Μέν τοι βεβαιωτικός· οἷον· τῇ ἀληθείᾳ τοῦτο ἐστὶν ἴδιον Πόῤῥω σοφίας ἐλαύνοντος.

4. Ἢ δῆλα δή) Πάντως δηλ. τῶν οἰκείων ἐστίν· ἄλλως γὰρ οὐκ ἂν ἐπεξῄεις τῷ πατρὶ αὐτῷ φόνου ὑπὲρ ἀλλοτρίου γε.

— Ἐπεξῄησθα) Κατ᾽ ἐπέκτασιν τῆς θα συλλαβῆς.

5. Ὅτι) Ἀνάλυσις ὀνοματικοῦ ἀπαρεμφάτου· ἀντὶ τοῦ, Γελοῖόν ἐστιν τὸ οἴεσθαί σε διαφέρειν τι· καὶ τλ. — Ἐν δίκῃ) Δικαίως δηλ. — Ἀφοσιοῖς) Ἁρποκρατίων Ἀφοσιῶ, φησὶν, ἀντὶ τοῦ ἀποκαθαίρω, ἀφαγνίζω· καὶ Ἡσύχιος, Ἀφοσιοῦν· καθαίρειν.

6. Πελάτης) Πολυδ. Γ΄. Πελάται καὶ θῆτες, ἐλευθέρων ἐστὶν ὀνόματα, διὰ πενίαν ἐπ᾽ ἀργυρίῳ δουλευόντων. — Καὶ ὡς ἐγεωργοῦμεν) Τὸ Ὡς χρονικόν.

ΙΩΑΝΝΙΝΑ 2006

ἐξηγητοῦ ὅ,τι χρὴ ποιεῖν. Ἐν δὲ τούτῳ τῷ χρόνῳ τοῦ δεδεμένου 8
ὠλιγώρει τε καὶ ἠμέλει, ὡς ἀνδροφόνου· καὶ οὐδὲν ἦν πρᾶγμα
εἰ καὶ ἀποθάνοι, ὅπερ οὖν καὶ ἔπαθεν. Ὑπὸ γὰρ λιμοῦ καὶ
ῥίγους καὶ τῶν δεσμῶν ἀποθνήσκει, πρὶν τὸν ἄγγελον παρὰ τοῦ
ἐξηγητοῦ ἀφικέσθαι. Ταῦτα δὴ οὖν καὶ ἀγανακτεῖ ὅ,τε πατὴρ 9
καὶ οἱ ἄλλοι οἰκεῖοι, ὅτι ἐγὼ ὑπὲρ τοῦ ἀνδροφόνου τῷ πατρὶ
φόνου ἐπεξέρχομαι· οὔτε ἀποκτείναντι, ὥς φασιν ἐκεῖνοι, οὔτ᾽, εἰ ὅτι
μάλιστ᾽ ἀπέκτεινεν, ἀνδροφόνου γε ὄντος τοῦ ἀποθανόντος,
οὐ δεῖν φροντίζειν ὑπὲρ τοῦ τοιούτου· ἀνόσιον γὰρ εἶναι τὸν υἱὸν
πατρὶ φόνου ἐπεξιέναι· κακῶς εἰδότες, ὦ Σώκρατες, τὸ θεῖον ὡς
ἔχει τοῦ ὁσίου τε πέρι καὶ τοῦ ἀνοσίου. — Σωκ. Σὺ δὲ δὴ πρὸς 10
Διός, ὦ Εὐθύφρον, οὑτωσὶ ἀκριβῶς οἴει ἐπίστασθαι περὶ τῶν
θείων, ὅπῃ ἔχῃ, καὶ τῶν ὁσίων τε καὶ ἀνοσίων, ὥς τε τούτων οὕ-
τω πραχθέντων, ὡς σὺ λέγεις, οὐ φοβῇ δικαζόμενος τῷ πατρί,
ὅπως μὴ αὖ σὺ ἀνόσιον πρᾶγμα τυγχάνῃς πράττων; — Εὐθ. 11
Οὐδὲν γὰρ ἄν μοι ὄφελος, ὦ Σώκρατες, εἴη, οὐδὲ τῳ ἂν διαφέ-
ροι Εὐθύφρων τῶν πολλῶν ἀνθρώπων, εἰ μὴ τὰ τοιαῦτα πάντα
ἀκριβῶς εἰδείην.

έ. Σωκ. Ἆρ᾽ οὖν μοι, ὦ θαυμάσιε Εὐθύφρον, κράτιστόν ἐστι μαθητῇ σῷ γενέσθαι, καὶ πρὸ τῆς γραφῆς τῆς πρὸς Μέλιτον αὐτὰ ταῦτα προκαλεῖσθαι αὐτὸν λέγοντα· ὅτι ἔγω γε καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ τὰ θεῖα περὶ πολλοῦ ἐποιούμην εἰδέναι, καὶ

---

7. Τοῦ ἐξηγητοῦ) Πολυδ. Η΄. Ἐξηγηταὶ ἐκαλοῦντο οἱ τὰ περὶ τῶν διοσημείων, καὶ τὰ τῶν ἄλλων ἱερῶν διδάσκοντες. Σουΐδας δέ. Ἐξηγηταί, οἷς μέλει καθαίρειν τοὺς ἐν ἄγει τινὶ ἐνισχηθέντας· καὶ οἱ ἐξηγούμενοι τὰ πάτρια.

8. Καὶ οὐδὲν ἦν πρᾶγμα) Αὐτῷ δηλ. ἤτοι ἀδιαφόρει εἰ καὶ ἀποθάνοι.

9. Ἐπεξέρχομαι) Βαρῖνος. Ἐπεξέρχομαι καὶ ἀντὶ τοῦ τιμωροῦμαι καὶ εἰς εὐθύνην καὶ κρίσιν ἄγω, δοτικῇ συντάσσεται. — Εἰ ὅτι μάλιστα) Ἂν δηλ. καὶ τῇ ἀληθείᾳ ἀπέκτεινεν. — Οὐ δεῖν) Ἀνακόλουθον δὲ τὸ τοιοῦτο καὶ ἡ σύνταξις συγκεχυμένη πως· ἔδει γὰρ εἰπεῖν οὕτω πως οὔτε ἀποκτείναντι οὔτε ἐπειδὴ ἀνδροφόνος ἦν ὁ ἀποθανών, ἄξιον φροντίδος ἔργον πραξαμένῳ· ὁ δέ, τὸ μὲν ἀποκτείναντι συνεφώνησε τῇ τῷ πατρὶ δοτικῇ· ἐν δὲ τῷ δευτέρῳ οὔτε ὁμοιόπτωτον ἀπαιτοῦντι, ἐπειδὴ εἰσῆλθόν τινα, ὥσπερ ἐπιλαθόμενος, ἀπαρέμφατον ἐπήγαγεν, ἀπὸ τοῦ φασὶν ἐξηρτώμενον· καὶ ἐπανέλαβε τὸ Οὐ· οἷον· Οὔτε φασὶν δεῖν φροντίζειν καὶ τλ. τὰ δὲ τοιαῦτα κακόζηλα λέγεται· καὶ μιμήσεως οὐ κρίνεται ἄξια. — Ἀνόσιον γὰρ εἶναι) Φασὶ δηλ. — Τὸ θεῖον, ὡς ἔχει) Καθ᾽ ὑπερβιβασμόν· ἀντὶ Κακὴν ἰδέαν ἔχοντες, ὡς ἔχει τὸ θεῖον περὶ τοῦ ὁσίου καὶ ἀνοσίου.

10. Ὅπῃ ἔχει) Ὅπως ἔχει δηλ. — Τυγχάνῃς πράττων;) Ἀντὶ πράττῃς. — Οὐδὲ τῳ) Ἀντὶ τινί ἤτοι τοῦτό ἐστί μοι τὸ ὠφέλιμον, καὶ κατὰ τοῦτο διαφέρω τῶν πολλῶν, ἐπειδὴ οἶδα ταῦτα πάντα ἀκριβῶς.

έ. Μαθητῇ σῷ) Κράτιστον ἐστὶν ἐμοὶ γενέσθαι μαθητῇ σῷ· τὸ ἐκ τρίτου τοῦ γενέσθαι ὁμοιόπτωτον τῷ ἐκ πρώτου. — Λέγοντα) Ἀπαρεμφατικὴ τὸ Λέγοντα πρὸς τὸ προσκαλεῖσθαι. Ἔστι δὲ κατὰ ἀνάλυσιν τοιόνδε. Ἆρα, ὦ Εὐθύφρον κρατιστόν ἐστιν, ἵνα ἐγὼ γένωμαι μαθητὴς σός, καὶ ἵνα προκαλέσωμαι Μέλιτον πρὸ τῆς γραφῆς, ἥτις μοί ἐστι πρὸς αὐτὸν αὐτὰ ταῦτα ἃ διελέχθημεν, λέγων

νῦν, ἐπειδή με ἐκεῖνος αὐτοσχεδιάζοντά φησι, καὶ καινοτομοῦντα
2 περὶ τῶν θείων ἐξαμαρτάνειν, μαθητὴς δὴ γέγονα σός. Καὶ εἰ
μέν, ὦ Μέλιτε, φαίην ἄν, Εὐθύφρονα ὁμολογεῖς σοφὸν εἶναι τὰ
τοιαῦτα καὶ ὀρθῶς νομίζειν· καὶ ἐμὲ ἡγοῦ καὶ μὴ δικάζου· εἰ
δὲ μή, ἐκείνῳ τῷ διδασκάλῳ λάχε δίκην πρότερον ἢ ἐμοί, ὡς
τοὺς πρεσβυτέρους διαφθείροντι ἐμέ τε καὶ τὸν αὑτοῦ πατέρα· ἐμὲ
3 μὲν διδάσκοντι, ἐκεῖνον δὲ νουθετοῦντι καὶ κολάζοντι. Καὶ ἐὰν
μή μοι πείθηται, μηδὲ ἀφίῃ τῆς δίκης, ἢ ἀντ' ἐμοῦ γράφηται
σε, αὐτὰ ταῦτα λέγειν ἐν τῷ δικαστηρίῳ, ἃ προὐκαλούμην αὐτόν.
4 — Εὐθ. Ναὶ μὰ Δία, ὦ Σώκρατες, εἰ ἄρα ἐμὲ ἐπιχειρήσειε
γράφεσθαι, εὕροιμ' ἂν ὡς οἶμαι, ὅπῃ σαθρός ἐστι· καὶ πολὺ ἂν
ἡμῖν πρότερον περὶ ἐκείνου λόγος γένοιτο ἐν τῷ δικαστηρίῳ ἢ περὶ
5 ἐμοῦ. — Σωκ. Καὶ ἐγώ τοι, ὦ φίλε ἑταῖρε, ταῦτα γιγνώσκων,
μαθητὴς ἐπιθυμῶ γενέσθαι σός· εἰδὼς ὅτι καὶ ἄλλος πού τις, καὶ
ὁ Μέλιτος οὗτος, σὲ μὲν οὐδὲ δοκεῖ ὁρᾷν· ἐμὲ δὲ οὕτως ὀξέως
ἀτεχνῶς καὶ ῥᾳδίως κατεῖδεν, ὥστε ἀσεβείας ἐγράψατο.

ϛ΄. Νῦν οὖν πρὸς Διὸς λέγε μοι, ὃ νῦν σαφῶς εἰδέναι διϊ-
σχυρίζου· ποῖον δή τι τὸ εὐσεβὲς φῂς εἶναι, καὶ τὸ ἀσεβές, καὶ
περὶ φόνου, καὶ περὶ τῶν ἄλλων· ἢ οὐ ταὐτόν ἐστιν ἐν πάσῃ πράξει
τὸ ὅσιον αὐτὸ αὑτῷ· καὶ τὸ ἀνόσιον αὖ, τοῦ μὲν ὁσίου παντὸς
ἐναντίον, αὐτὸ δὲ αὑτῷ ὅμοιον, καὶ ἔχον μίαν τινὰ ἰδέαν κατὰ
τὴν ἀνοσιότητα, πᾶν ὅ, τι περ ἂν μέλλοι ἀνόσιον εἶναι. —
2 Εὐθ. Πάντως δήπου, ὦ Σώκρατες. Σωκ. Λέγε δή, τί φῂς εἶναι
τὸ ὅσιον, καὶ τί τὸ ἀνόσιον; — Εὐθ. Λέγω τοίνυν, ὅτι τὸ μὲν
ὅσιόν ἐστιν, ὅπερ ἐγὼ νῦν ποιῶ, τῷ ἀδικοῦντι, ἢ περὶ φόνους, ἢ
περὶ ἱερῶν κλοπάς, ἤ τι ἄλλο τῶν τοιούτων ἐξαμαρτάνοντι ἐπε-
ξιέναι· ἐάν τε πατὴρ ὢν τυγχάνῃ, ἐάν τε μήτηρ, ἐάν τε ἄλλος ὁσ-
3 τισοῦν· τὸ δὲ μὴ ἐπεξιέναι, ἀνόσιον. Ἐπεί, ὦ Σώκρατες, θέασαι,
ὡς μέγα σοι ἐρῶ τεκμήριον τοῦ νόμου, ὅτι οὕτως ἔχει, ὃ καὶ
ἄλλοις ἤδη εἶπον, ὅτι ταῦτα ὀρθῶς ἂν εἴη οὕτω γιγνόμενα, μὴ
4 ἐπιτρέπειν τῷ ἀσεβοῦντι, μηδ' ἂν ὁστισοῦν τυγχάνῃ ὤν. Αὐτοί

---

Ὅτι ἔγωγε καὶ τλ. — Αὐτοσχεδιάζοντα) Ἐκ τοῦ αὐτομάτου καὶ προχείρως λέγοντα χωρὶς αἰτίας· ὡς λέγει ὁ Σχολιαστ. Πλατ. Τὸ δὲ περὶ τῶν θείων αὐτοσχεδιάζειν οὐδὲν ἀλλ' ἢ κακῶς περὶ τῶν θείων φρονεῖν πραγμάτων, καὶ ὅσα τούτοις ἀνήκει.

2. Φαίην ἂν) Προσθείην ἄν. — Καὶ ἐμὲ ἡγοῦ) Ἐννοεῖται. Σοφὸν εἶναι τὰ τοιαῦτα καὶ ὀρθῶς νομίζειν. — Λάχε δίκην) Θωμᾶς Μάγιστρος Λαγχάνω δίκην τῷ δεῖνι· ἤγουν κρίνω, Ἀττικοὶ λέγουσιν, οὐκ ἐπιφέρω· διὰ κλήρου γὰρ τὰς δίκας ἐποίουν.

3. Αὐτὰ ταῦτα λέγειν) Ἀπὸ τοῦ Κράτιστόν ἐστι. — Ἃ Προὐκαλούμην) Προκαλεῖσθαι τινὰ τί ἐστιν ἐπάγειν τινὶ αἰτίαν τινά.

ϛ΄. Παντὸς ἐναντίον) Οἷον· τὸ ἀνόσιον ἐναντίον ἐστὶ τοῦ ὁσίου παντός, ὅπως δήποτοῦν δηλονότι θεωρουμένου. — Πᾶν ὅ, τι περ) Ἐκ τούτου φανερὸν ὅτι καὶ τό, παντὸς τοῦ ὁσίου τὸ αὐτὸ δηλοῖ, εἴ τ' οὖν· πᾶν ὅ, τι περ ἂν μέλλῃ ὅσιον εἶναι. — Πάντως δήπου) Τὸ Δήπου πρὸς ἐπίτασιν τῆς βεβαιώσεως.

γὰρ οἱ ἄνθρωποι τυγχάνουσι νομίζοντες τὸν Δία τῶν θεῶν ἄριστον καὶ δικαιότατον· καὶ τοῦτον ὁμολογοῦσι τὸν αὑτοῦ πατέρα δῆσαι, ὅτι τοὺς υἱεῖς κατέπινεν οὐκ ἐν δίκῃ· κἀκεῖνόν γε αὖ τὸν αὑτοῦ πατέρα ἐκτεμεῖν δι' ἕτερα τοιαῦτα· ἐμοὶ δὲ χαλεπαίνουσι, ὅτι τῷ πατρὶ ἐπεξέρχομαι ἀδικοῦντι· καὶ οὕτως αὐτοὶ ἑαυτοῖς τὰ ἐναντία λέγουσι περί τε τῶν θεῶν, καὶ περὶ
ἐμοῦ. — Σωκ. Ἆρά γε, ὦ Εὐθύφρον, τοῦτ' ἐστὶν οὗ ἕνεκα τὴν 5
γραφὴν φεύγω, ὅτι τὰ τοιαῦτα, ἐπειδάν τις περὶ τῶν θεῶν λέγῃ, δυσχερῶς πως ἀποδέχομαι· δι' ἃ δή, ὡς ἔοικε, φήσει τίς με ἐξα-
μαρτάνειν. Νῦν οὖν, εἰ καὶ σοὶ ταῦτα ξυνδοκεῖ τῷ εὖ εἰδότι περὶ 6
τῶν τοιούτων, ἀνάγκη δή, ὡς ἔοικε, καὶ ἡμῖν ξυγχωρεῖν. Τί γὰρ καὶ φήσομεν, οἵ γε καὶ αὐτοὶ ὁμολογοῦμεν περὶ αὐτῶν μηδὲν εἰδέναι; ἀλλά μοι εἰπὲ πρὸς Φιλίου, σὺ ὡς ἀληθῶς ἡγῇ ταῦτα
γεγονέναι οὕτως; — Εὐθ. Καὶ ἔτι γε τούτων θαυμασιώτερα, ὦ 7
Σώκρατες, ἃ οἱ πολλοὶ οὐκ ἴσασι. — Σωκ. Καὶ πόλεμον ἄρα ἡγῇ σὺ εἶναι τῷ ὄντι ἐν τοῖς θεοῖς πρὸς ἀλλήλους, καὶ ἔχθρας γε δεινὰς καὶ μάχας, καὶ ἄλλα τοιαῦτα πολλά, οἷα λέγεται ὑπὸ τῶν ποιητῶν, καὶ ὑπὸ τῶν ἀγαθῶν γραφέων, τά τε ἄλλα ἱερὰ ἡμῖν καταπεποίκιλται, καὶ δὴ καὶ τοῖς μεγάλοις Παναθηναίοις ὁ πέπλος μεστὸς τῶν τοιούτων ποικιλμάτων ἀνάγεται εἰς

4. Οὐκ ἐν δίκῃ) Ἀδίκως. Κρόνος τὴν ἀδελφὴν Ῥέαν γήμας, ἐπειδὴ Γῆ τε καὶ Οὐρανὸς ἐθεσπιῴδουν αὐτῷ λέγοντες ὑπὸ παιδὸς ἰδίου τὴν ἀρχὴν ἀφαιρήσεσθαι, κατέπινε τὰ γεννώμενα. Ἐπὶ τούτοις ὀργισθεῖσα ἡ Ῥέα παραγίνεται εἰς Κρήτην, ὁπηνίκα τὸν Δία ἐγκυμονοῦσα ἐτύγχανε, καὶ γεννᾷ αὐτὸ ἐν ἄντρῳ τῆς Δίκτης καὶ αὐτὸν μὲν παραδοῦσα Κούρησι τρέφεσθαι, οἵπερ ἔνοπλοι ὄντες τοῖς δόρασι τὰς ἀσπίδας συνέκρουον, ἵνα μὴ τῆς τοῦ παιδὸς φωνῆς ὁ Κρόνος ἀκούσῃ, αὐτὴ δὲ λίθον σπαργανώσασα ἔδωκε τῷ Κρόνῳ καταπιεῖν. Ζεὺς δὲ γεννηθεὶς τέλειος, συνεργούσης Μήτιος, διὰ φαρμάκου ἀναγκάζει Κρόνον τοὺς ἀδελφοὺς ἐμέσαι· μεθ' ὧν πρὸς Κρόνον εἰσήνεγκε πόλεμον· καὶ μετὰ δέκα ἐνιαυτοὺς κρατήσας, καθεῖρξεν ἐν τῷ ταρτάρῳ. Ἀπολλόδ. Α΄. Καὶ ἐκεῖνόν γε) Τὸν Κρόνον. Γῆ τεκνοῖ ἐξ Οὐρανοῦ Κύκλωπας, ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου ἔχοντας. οὓς δήσας Οὐρανὸς ἔῤῥιψεν εἰς τὸν τάρταρον· μετὰ ταῦτα πάλιν τεκνοῖ Γῆ ἐξ οὐρανοῦ τοὺς Τιτᾶνας· οὓς, ἀγανακτοῦσα ἐπὶ τῇ ἀπωλείᾳ τῶν Κυκλώπων, πείθει ἐπιθέσθαι τῷ πατρί, οἱ δὲ, ἐπιτίθενται· καὶ Κρόνος ἀποτεμὼν τὰ αἰδοῖα τοῦ πατρὸς, ῥίπτει εἰς τὴν θάλασσαν. Ἀπολλόδ. Α΄.

5. Τὴν γραφὴν φεύγω) Κατηγοροῦμαι. — Ὅτι) Ἀνάλυσις ὀνοματικοῦ ἀπαρεμφάτου· τὸ ἀποδέχεσθαί με δυσχερῶς πως τὰ τοιαῦτα.

6. Πρὸς τοῦ Φιλίου) Διὸς δηλ. ὡς τὰ περὶ τῆς φιλίας ἐπισκοπῶν, ταύτης ἔλαχε τῆς κλήσεως Ζεύς.

7. Καὶ ἔτι) Ἐννοεῖται, ἡγοῦμαι. — Καὶ πόλεμον) Ἐνταῦθα σημειώσεως ἄξιον, ὅτι ὁ Πλάτων οὐ δέχεται, περὶ θεοῦ λέγεσθαι τὰ παρὰ τῶν ποιητῶν μυθευόμενα. οἷον ἔχθρας πολέμους, συνουσίας, καὶ τὰ τοιαῦτα. Ὅλος γὰρ ὁ σκοπὸς τῆς ἑξῆς διαλέξεως πρὸς τοῦτο ἀφορᾷ.

8. Καὶ τοῖς μεγάλοις) Ἐλλείπει ἡ Ἐν. Παναθήναια ἑορτή, ἣν εἰς τιμὴν Ἀθηνᾶς ἦγοντο Ἀθηναῖοι· ἦσαν δὲ διπλᾶ, μεγάλα καὶ μικρά· καὶ τὰ μὲν μικρὰ κατ' ἐνιαυτὸν ἤγοντο, τὰ δὲ μεγάλα κατὰ πενταετίαν, ἃ καὶ ἁπλῶς Παναθήναια ἐκαλοῦντο· ἐν οἷς τὸν πέπλον τῆς Ἀθηνᾶς καλούμενον, τὴν Γιγαντομαχίαν πεποικιλμένην ἔχοντα, καὶ ὅσα τό τε πέπρακται τῇ Ἀθηνᾷ, ἔφερον ἀπὸ τοῦ Κεραμικοῦ μέχρις Ἐλευσῖνος, κἀκεῖθεν εἰς τὴν ἀκρόπολιν.

8 τὴν ἀκρόπολιν; ταῦτα ἀληθῆ φῶμεν εἶναι, ὦ Εὐθύφρον; — Εὐθ. Μὴ μόνα γε, ὦ Σώκρατες· ἀλλ᾽ ὅπερ ἄρτι εἶπον, καὶ ἄλλα σοι ἐγὼ πολλὰ, ἐάν περ βούλῃ περὶ τῶν θείων διηγήσομαι· ἃ σὺ ἀκούων, εὖ οἶδ᾽, ὅτι ἐκπλαγήσῃ.

ζ'. Σωκ. Οὐκ ἂν θαυμάζοιμι· ἀλλὰ ταῦτα μέν μοι εἰσαῦθις ἐπὶ σχολῆς διηγήσῃ· νυνὶ δὲ, ὅπερ ἄρτι σε ἠρόμην, πειρῶ σαφέστερον εἰπεῖν. Οὐ γάρ με, ὦ ἑταῖρε, τοπρότερον ἱκανῶς ἐδίδαξας, ἐρωτήσαντα τὸ ὅσιον ὅ,τι ποτὲ εἴη· ἀλλά μοι εἶπες, ὅτι τοῦτο τυγχάνει ὅσιον ὂν, ὃ σὺ νῦν ποιεῖς, φόνου ἐ-
2 πεξιὼν τῷ πατρί. — Εὐθ. Καὶ ἀληθῆ γε ἔλεγον, ὦ Σώκρατες. — Σωκ. Ἴσως. Ἀλλὰ γὰρ, ὦ Εὐθύφρον, καὶ ἄλλα πολλὰ φὴς
3 εἶναι ὅσια; — Εὐθ. Καὶ γάρ ἐστι. — Σωκ. Μέμνησαι οὖν ὅτι οὐ τοῦτό σοι διεκελευόμην, ἕν τι ἢ δύο με διδάξαι τῶν πολλῶν ὁσίων· ἀλλ᾽ ἐκεῖνο αὐτὸ τὸ εἶδος, ᾧ πάντα τὰ ὅσια, ὅσιά ἐστιν· ἔφησθα γάρ που μιᾷ ἰδέᾳ τά τε ἀνόσια, ἀνόσια εἶναι·
4 καὶ τὰ ὅσια, ὅσια· ἢ οὐ μνημονεύεις; — Εὐθ. Ἔγωγε. — Σωκ. Ταύτην τοίνυν με αὐτὴν δίδαξον τὴν ἰδέαν τίς ποτέ ἐστιν· ἵνα εἰς ἐκείνην ἀποβλέπων, καὶ χρώμενος αὐτῇ παραδείγματι, ὃ μὲν ἂν τοιοῦτον ᾖ, ὧν ἂν ἢ σὺ ἢ ἄλλος τις πράττῃ, φῶ ὅ-
5 σιον εἶναι· ὃ δ᾽ ἂν μὴ τοιοῦτον, μὴ φῶ. — Εὐθ. Ἀλλ᾽ εἰ οὕτω βούλει, ὦ Σώκρατες, καὶ οὕτω σοι φράσω. — Σωκ. Ἀλλὰ μὴν βούλομαί γε. — Εὐθ. Ἔστι τοίνυν τὸ μὲν τοῖς θεοῖς προσφιλὲς, ὅσιον· τὸ δὲ μὴ προσφιλὲς, ἀνόσιον. — Σωκ. Παγ-
6 κάλως, ὦ Εὐθύφρον, καὶ ὡς ἐγὼ ἐζήτουν ἀποκρίνασθαί σε, οὕτω νῦν ἀπεκρίνου. Εἰ μέν τοι ὡς ἀληθῶς, τοῦτο οὔπω οἶδα· ἀλλὰ σὺ δηλονότι ἐπεκδιδάξεις, ὡς ἔστιν ἀληθῆ, ἃ λέγεις. — Εὐθ. Πάνυ μὲν οὖν.

ή. Σωκ. Φέρε δὴ, ἐπισκεψώμεθα, τί λέγομεν. Τὸ μὲν θεοφιλές τε καὶ ὁ θεοφιλὴς ἄνθρωπος, ὅσιος· τὸ δὲ θεομισὲς καὶ ὁ θεομισὴς, ἀνόσιος· οὐ ταὐτὸν δ᾽ ἔστιν, ἀλλὰ τὸ ἐναντιώτατον τὸ ὅσιον τῷ ἀνοσίῳ. Οὐχ οὕτως; — Εὐθ. Οὕτω μὲν οὖν. — Σωκ. Καὶ εὖγε φαίνεται εἰρῆσθαι. — Εὐθ. Δοκῶ, ὦ Σώκρατες·

---

ζ'. Ἐπὶ σχολῆς) Τῆς λεγομένης παρὰ τοῖς πολλοῖς Εὐκαιρίας. — Τὸ Ὅσιον ὅ,τι ποτ.) Οἷον Ὅ,τι ποτὲ εἴη τὸ ὅσιον. — Τυγχάνει . . . ὂν) Ἐστίν.

2. Ἀλλὰ γὰρ) Ἀντιθετικὸς, ἢ προσθετικός.

3. Ἔφησθα) Κατ᾽ ἐπέκτασιν τῆς θασυλλαβῆς. — Μιᾷ ἰδέᾳ) Σημείωσαι ὅτι Εἶδος καὶ Ἰδέα τὸ αὐτὸ λέγει· ὡς Λαέρτιος λέγει. Γ'. ξγ'. — Ἔγω γε) Μνημονεύω δηλ.

4. Μὴ φῶ.) Ὅσιον εἶναι.

5. Ἀλλὰ μὴν . . . γε) Βεβαιωτικός·

6. Πάνυ μὲν οὖν) Ὑπεκδιδάξω βεβαιώτατα.

ή. Οὐ ταὐτὸν καὶ τλ.) Οὐ ταὐτὸ δηλονότι ἐστὶ τὸ ὅσιον τῷ ἀνοσίῳ, ἀλλὰ τὸ ὅσιον ἐπὶ τὸ ἐναντιώτατον τῷ ἀνοσίῳ. — Οὐχ οὕτως) Ἔχει δηλ. — Οὕτω μὲν οὖν) Οὕτως ἔχει βεβαιώτατα.

εἴρηται γάρ. — Σωκ. Οὐκοῦν καὶ ὅτι στασιάζουσιν οἱ θεοὶ καὶ
διαφέρονται ἀλλήλοις, ὦ Εὐθύφρον, καὶ ἔχθρα ἔστιν ἐν αὐτοῖς
πρὸς ἀλλήλους, καὶ τοῦτο εἴρηται; — Εὐθ. Εἴρηται γάρ. — 2
Σωκ. Ἔχθραν δὲ καὶ ὀργάς, ὦ ἄριστε, ἡ περὶ τίνων διαφορὰ
ποιεῖ; ὧδε δὲ σκοπῶμεν. Ἆρα ἂν εἰ διαφεροίμεθα ἐγώ τε καὶ
σὺ περὶ ἀριθμοῦ, ὁπότερα πλείω, ἡ περὶ τούτων διαφορὰ ἐχ-
θροὺς ἂν ἡμᾶς ποιῇ, καὶ ὀργίζεσθαι ἀλλήλοις; ἢ ἐπὶ λογισμὸν
ἐλθόντες περί γε τῶν τοιούτων, ταχὺ ἂν ἀπαλλαγεῖμεν; —
Εὐθ. Πάνυ γε. — Σωκ. Οὐκοῦν καὶ περὶ τοῦ μείζονος καὶ 3
τοῦ ἐλάττονος εἰ διαφεροίμεθα, ἐπὶ τὸ μετρεῖν ἐλθόντες, ταχὺ
παυσαίμεθ' ἂν τῆς διαφορᾶς; — Εὐθ. Ἔστι ταῦτα. — Σωκ.
Καὶ ἐπί γε τὸ ἱστάναι ἐλθόντες, ὡς ἐγῷμαι, περὶ τοῦ βαρυ- 4
τέρου τε καὶ κουφοτέρου διακριθείημεν ἄν; — Εὐθ. Πῶς γὰρ
οὔ; — Σωκ. Περὶ τίνος δὲ δὴ διενεχθέντες, καὶ ἐπὶ τίνα κρί- 5
σιν οὐ δυνάμενοι ἀφικέσθαι, ἐχθροί τε ἂν ἀλλήλοις εἴημεν, καὶ
ὀργιζοίμεθα; ἴσως οὐ πρόχειρόν σοι ἐστίν· ἀλλ' ἐμοῦ λέγον-
τος σκόπει, εἰ τὰ δ' ἐστὶ τό τε δίκαιον καὶ τὸ ἄδικον, καὶ κα-
λὸν καὶ αἰσχρὸν, καὶ ἀγαθὸν καὶ κακόν. Ἆρ' οὐ ταῦτά ἐστι 6
περὶ ὧν διενεχθέντες, καὶ οὐ δυνάμενοι ἐπὶ ἱκανὴν κρίσιν αὐ-
τῶν ἐλθεῖν, ἐχθροί γε ἀλλήλοις γιγνόμεθα, ὅταν γιγνώμεθα, καὶ
ἐγὼ καὶ σὺ καὶ οἱ ἄλλοι ἄνθρωποι πάντες; — Εὐθ. Ἀλλ' ἔ-
στιν αὕτη ἡ διαφορά, ὦ Σώκρατες, καὶ περὶ τούτων. — Σωκ. 7
Τί δέ; οἱ θεοί, ὦ Εὐθύφρον, οὐκ εἴπερ τι διαφέρονται, δι' αὐ-
τὰ ταῦτα διαφέροιντ' ἄν; — Εὐθ. Πολλὴ ἀνάγκη. — Σωκ. Καὶ
τῶν θεῶν ἄρα, ὦ γενναῖε Εὐθύφρον, ἄλλοι ἄλλα δίκαια ἡγοῦν-
ται, κατὰ τὸν σὸν λόγον· καὶ καλὰ καὶ αἰσχρὰ, καὶ ἀγαθὰ
καὶ κακά. Οὐ γὰρ ἄν που ἐστασίαζον ἀλλήλοις, εἰ μὴ περὶ τού-
των διεφέροντο· ἢ γάρ; — Εὐθ. Ὀρθῶς λέγεις. — Σωκ. Οὐ-
κοῦν ἅπερ καλὰ ἡγοῦνται ἕκαστοι καὶ ἀγαθὰ καὶ δίκαια, ταῦ- 8
τα καὶ φιλοῦσι, τὰ δὲ ἐναντία τούτων καὶ μισοῦσιν; — Εὐθ.
Πάνυ γε. — Σωκ. Ταὐτὰ δέ γε, ὡς σὺ φῄς, οἱ μὲν δίκαια ἡ-
γοῦνται, οἱ δὲ ἄδικα· περὶ ἃ καὶ ἀμφισβητοῦντες, στασιάζου-
σί τε καὶ πολεμοῦσιν ἀλλήλοις. Ἆρ' οὐχ οὕτως; — Εὐθ. Οὕ-
τω. — Σωκ. Ταὐτὰ ἄρα, ὡς ἔοικε, μισεῖται ὑπὸ τῶν θεῶν καὶ
φιλεῖται· καὶ θεομισῆ τε καὶ θεοφιλῆ ταὐτὰ ἂν εἴη. — Εὐθ.

---

2. Εἴρηται γάρ) Ὁ Γὰρ βεβαιωτικός.

4. Ἐπί γε τὸ ἱστάν.) Τὸ σταθμίζειν δηλ.

5. Εἰ τὰ δ' ἐστι) Τὰ ἑξῆς δηλ. ἐστὶ περὶ ὧν διαφερόμεθα· ἤγουν τὸ δίκαιον, τὸ ἄδικον καὶ τλ.

7. Ἢ γάρ) Τὸ παρ' ἡμῖν. Οὕτως ἔχει.

8. Οἱ μὲν) Τῶν θεῶν δηλ. — Ἆρ' οὐχ οὕτως;) Ἔχει δηλ. — Οὕτως) ἔχει.

9 Ἔοικε. — Σωκ. Καὶ ὅσια ἄρα καὶ ἀνόσια τὰ αὐτὰ ἂν εἴη, ὦ Εὐ-
θύφρον, τούτῳ τῷ λόγῳ. — Εὐθ. Κινδυνεύει.
Θ΄. Σωκ. Οὐκ ἄρα ὃ ἠρόμην, ἀπεκρίνω, ὦ θαυμάσιε· οὐ
γὰρ τοῦτό γε ἠρώτων, ὃ τυγχάνει ταὐτὸν ὂν ὅσιόν τε καὶ ἀνό-
σιον· ὃ δ᾽ ἂν θεοφιλὲς ᾖ, καὶ θεομισές ἐστιν, ὡς ἔοικεν. Ὥς τε,
2 ὦ Εὐθύφρον, ὃ σὺ νῦν ποιεῖς, τὸν πατέρα κολάζων, οὐδὲν θαυ-
μαστὸν, εἰ τοῦτο δρῶν τῷ μὲν Διῒ προσφιλὲς ποιεῖς, τῷ δὲ
Κρόνῳ καὶ τῷ Οὐρανῷ ἐχθρόν· καὶ τῷ μὲν Ἡφαίστῳ φίλον,
τῇ δὲ Ἥρᾳ ἐχθρόν· καὶ εἴ τις ἄλλος θεῶν ἕτερος ἑτέρῳ δια-
3 φέρεται περὶ αὐτοῦ, καὶ ἐκείνοις κατὰ ταὐτά. — Εὐθ. Ἀλλ᾽
οἶμαι, ὦ Σώκρατες, περί γε τούτου τῶν θεῶν οὐδένα ἕτερον
ἑτέρῳ διαφέρεσθαι, ὡς οὐ δεῖ δίκην διδόναι ἐκεῖνον, ὃς ἂν ἀ-
4 δίκως τινὰ ἀποκτείνῃ. — Σωκ. Τί δέ; ἀνθρώπων, ὦ Εὐθύφρον,
ἤδη τινὸς ἤκουσας ἀμφισβητοῦντος ὡς τὸν ἀδίκως ἀποκτείνον-
τα, ἢ ἄλλο ἀδίκως ποιοῦντα ὁτιοῦν, οὐ δεῖ διδόναι δίκην; —
Εὐθ. Οὐδὲν μὲν οὖν παύονται ταῦτα ἀμφισβητοῦντες καὶ ἄλ-
λοθι καὶ ἐν τοῖς δικαστηρίοις. Ἀδικοῦντες γὰρ πάμπολλα, πάν-
5 τα ποιοῦσι καὶ λέγουσι, φεύγοντες τὴν δίκην. — Σωκ. Ἦ καὶ
ὁμολογοῦσιν, ὦ Εὐθύφρον, ἀδικεῖν; καὶ ὁμολογοῦντες, ὅμως οὐ
δεῖν φασὶ σφᾶς διδόναι δίκην; — Εὐθ. Οὐδαμῶς τοῦτό γε. —
Σωκ. Οὐκ ἄρα πᾶν γε ποιοῦσι καὶ λέγουσιν. Τοῦτο γὰρ, οἶ-
μαι, οὐ τολμῶσι λέγειν οὐδ᾽ ἀμφισβητεῖν, ὡς οὐκ, εἴπερ ἀδι-
κοῦσί γε, δοτέον δίκην· ἀλλ᾽, οἶμαι, οὔ φασιν ἀδικεῖν· ἢ γάρ;
6 — Εὐθ. Ἀληθῆ λέγεις. — Σωκ. Οὐκ ἄρα ἐκεῖνό γε ἀμφισβη-
τοῦσιν, ὡς οὐ τὸν ἀδικοῦντα διδόναι δίκην· ἀλλ᾽ ἐκεῖνο ἴσως
7 ἀμφισβητοῦσι, τὸ τίς ἐστιν ὁ ἀδικῶν, καὶ τί δρῶν, καὶ πότε.
— Εὐθ. Ἀληθῆ λέγεις. — Σωκ. Οὐκοῦν ταὐτά γε ταῦτα καὶ
οἱ θεοὶ πεπόνθασιν, εἴπερ στασιάζουσί γε περὶ τῶν δικαίων
καὶ ἀδίκων, ὡς ὁ σὸς ἔστι λόγος; καὶ οἱ μὲν φασὶν ἀδικεῖν
8 ἀλλήλους, οἱ δὲ οὔ φασιν; Ἐπεὶ ἐκεῖνό γε δήπου, ὦ θαυμά-
σιε, οὐδεὶς οὔτε θεῶν οὔτε ἀνθρώπων τολμᾷ λέγειν, ὡς οὐ τῷ
γε ἀδικοῦντι δοτέον δίκην. — Εὐθ. Ναὶ τοῦτο μὲν ἀληθὲς λέ-
γεις, ὦ Σώκρατες, τό γε κεφάλαιον. — Σωκ. Ἀλλ᾽ ἕκαστόν γε,
οἶμαι, ὦ Εὐθύφρον, τῶν πραχθέντων ἀμφισβητοῦσιν οἱ ἀμφι-

---

9. Ἔοικεν) Οὕτως ἔχειν.

Θ΄. Ὡς ἔοικεν) Ταῦτα δ᾽ ὡς ἐπεξήγησις κεῖται τοῦ Ὁσίου καὶ ἀνοσίου· ὡς εἰ ἔλεγεν. Ὃ δηλ. ἂν ᾖ θεοφιλὲς, τοῦτο ἐστὶν, ὡς ἔοικε, καὶ θεομισές. Ὥστε καὶ τὰ λοιπά.

2. Περὶ αὐτοῦ) Ὃ σὺ νῦν ποιεῖς. — Καὶ ἐκεί(ν.) Ἐστὶν ὁμοίως φίλον ἢ ἐχθρόν.

4. Φεύγοντες τὴν δίκ.) Κατηγορούμενοι δηλ. εἰς δικαστήριον.

5. Οὐδαμῶς τοῦτό γε) Ποιοῦσι δηλ. — Οὔ φασιν ἀδ.) Φασὶν οὐκ ἀδικεῖν.

7. Καὶ οἱ μὲν) Αὐτῶν τῶν θεῶν.

8. Τό γε κεφάλαιον) Ἐν γένει δηλ. θεωρῶν τὸ πρᾶγμα.

Ε.Υ.Ζ. τμ. Κ. Π
ΙΩΑΝΝΙΝΑ 2006

σβητοῦντες, καὶ ἄθρωποι καὶ θεοί· εἴπερ ἀμφισβητοῦσι θεοὶ πράξεώς τινος πέρι διαφερόμενοι, καὶ οἱ μὲν δικαίως φασὶν αὐτὴν πεπρᾶχθαι, οἱ δὲ ἀδίκως· ἆρ᾽ οὐχ οὕτως; — Εὐθ. Πάνυγε. 9

ί. Σωκ. Ἴθι τοίνυν, ὦ φίλε Εὐθύφρον, δίδαξον καὶ ἐμέ, ἵνα σοφώτερος γένωμαι, τί σοι τεκμήριόν ἐστιν, ὡς πάντες θεοὶ ἡγοῦνται ἐκεῖνον ἀδίκως τεθνάναι, ὃς ἂν θητεύων ἀνδροφόνος γενόμενος, ξυνδεθεὶς ὑπὸ τοῦ δεσπότου τοῦ ἀποθανόντος, φθάσῃ τελευτήσας διὰ τὰ δεσμά, πρὶν τὸν ξυνδήσαντα παρὰ τῶν ἐξηγητῶν περὶ αὐτοῦ πυθέσθαι, τί χρὴ ποιεῖν· καὶ ὑπὲρ τοῦ τοιούτου δὴ ὀρθῶς ἔχει ἐπεξιέναι καὶ ἐπισκήπτεσθαι φόνου τὸν υἱὸν τῷ πατρί. Ἴθι, περὶ τούτων πειρῶ τί μοι σαφὲς ἐνδείξα- 2
σθαι, ὡς παντὸς μᾶλλον πάντες θεοὶ ἡγοῦνται ὀρθῶς ἔχειν ταύτην τὴν πρᾶξιν· κἄν μοι ἱκανῶς ἐνδείξῃ, ἐγκωμιάζων σε ἐπὶ σοφίᾳ οὐδέποτε παύσομαι. — Εὐθ. Ἀλλ᾽ ἴσως οὐκ ὀλίγον ἔρ- 3
γον ἐστίν, ὦ Σώκρατες· ἐπεὶ πάνυ γε σαφῶς ἔχοιμι ἂν ἐπιδεῖξαί σοι. — Σωκ. Μανθάνω ὅτι σοι δοκῶ τῶν δικαστῶν δυσμαθέστερος εἶναι· ἐπεὶ ἐκείνοις γε ἐνδείξῃ δηλονότι ὡς ἄδι-
κά τε ἐστί, καὶ οἱ θεοὶ πάντες τὰ τοιαῦτα μισοῦσιν. — Εὐθ. 4
Πάνυγε σαφῶς, ὦ Σώκρατες, ἐάν περ ἀκούωσί γέ μου λέγοντος. — Σωκ. Ἀλλ᾽ ἀκούσονται, ἐάν περ εὖ δοκῇς λέγειν.

ιά. Τόδε δέ σου ἐννενόηκα ἅμα λέγοντος, καὶ πρὸς ἐμαυτὸν σκοπῶ· εἰ ὅτι μάλιστά με Εὐθύφρων διδάξειεν, ὡς οἱ θεοὶ ἅπαντες τὸν τοιοῦτον θάνατον ἡγοῦνται ἄδικον εἶναι, τί μᾶλλον ἐγὼ μεμάθηκα παρ᾽ Εὐθύφρονος, τί ποτ᾽ ἐστὶ τὸ ὅσιόν τε
καὶ τὸ ἀνόσιον; Θεομισὲς μὲν γὰρ τοῦτο τὸ ἔργον, ὡς ἔοικεν, 2
εἴη ἄν. Ἀλλὰ γὰρ οὐ τούτῳ ἐφάνη ἄρτι ὡρισμένα τὸ ὅσιον καὶ μή. Τὸ γὰρ θεομισὲς ὄν, καὶ θεοφιλὲς ἐφάνη. Ὥς τε τούτου μὲν ἀφίημί σε, ὦ Εὐθύφρον· καί, εἰ βούλει, πάντες αὐτὸ
ἡγείσθωσαν θεοὶ ἄδικον, καὶ πάντες μισούντων. Ἀλλ᾽ ἆρα τοῦ- 3
το νῦν ἐπανορθούμεθα ἐν τῷ λόγῳ, ὡς ὃ μὲν ἂν πάντες οἱ θεοὶ μισῶσιν, ἀνόσιόν ἐστιν· ὃ δ᾽ ἂν φιλῶσιν, ὅσιον· ὃ δ᾽ ἂν οἱ μὲν

---

9. Ἆρ᾽ οὐχ οὕτως) Ἔχει. — Πάνυγε.) Οὕτως ἔχει.

ί. Καὶ ὑπὲρ τοῦ τ.) Καὶ τί σοι τεκμήριόν ἐστιν, ὡς ὀρθῶς ἔχει τὸν υἱὸν ἐπεξιέναι καὶ ἐπισκήπτεσθαι φόνου τῷ πατρὶ ὑπὲρ τοῦ τοιούτου ἀνδροφόνου;

2. Ὡς παντὸς μᾶλ.) Ὅτι ὑπὲρ πᾶν ἄλλο πάντες οἱ θεοὶ ἡγ. καὶ τλ.

3. Οὐκ ὀλ. ἔργ. ἐστὶ) Ἐννοεῖται Μαθεῖν· ὡς ἄν τις εἰκάσειεν ἐξ ὧν ἐν ϛ΄. 6. οἷον. Ἐγὼ μὲν πάνυ γε σαφῶς ἔχοιμι ἂν ἐπιδεῖξαί σοι· σοὶ δὲ δυσχερὲς ἴσως ἐστὶν ἀκοῦσαι καὶ μαθεῖν.

ιά. Τί) Τί ἕπεται ἐκ τούτου; Μᾶλλον ἐγὼ καὶ τλ.

2. Ὡρισμένα) Τὸ θεομισὲς δηλ. καὶ τὸ θεοφιλές.

— Μισούντων) Ἀντὶ μισείτωσαν· αἱ γὰρ τῶν μετοχῶν γενικαὶ ἀντὶ προστακτικῶν τρίτων προσώπων πληθυντικῶν Ἀττικῶς λαμβάνονται· κατ᾽ ἔλλειψιν τοῦ ὑπαρκτικοῦ· οἷον· τῶν μισούν-

4 φιλῶσιν, οἱ δὲ μισῶσιν, οὐδέτερα, ἢ ἀμφότερα. Ἆρ' οὕτω βού-
λει ἡμῖν ὡρίσθαι νῦν περὶ τοῦ ὁσίου καὶ τοῦ ἀνοσίου; — Εὐθ.
Τί γὰρ κωλύει, ὦ Σώκρατες; — Σωκ. Οὐδὲν ἐμέ γε, ὦ Εὐθύ-
φρον, ἀλλὰ σὺ δὴ τὸ σὸν σκόπει, εἰ τοῦτο ὑποθέμενος, οὕτω
ῥᾷστά με διδάξεις, ὃ ὑπέσχου. — Εὐθ. Ἀλλ' ἔγωγε φαίην ἂν
τοῦτο εἶναι τὸ ὅσιον, ὃ ἂν πάντες οἱ θεοὶ φιλῶσι· καὶ τὸ ἐναν-
5 τίον, ὃ ἂν πάντες θεοὶ μισῶσιν, ἀνόσιον. — Σωκ. Οὐκοῦν ἐπισκο-
πῶμεν αὖ τοῦτο, ὦ Εὐθύφρον, εἰ καλῶς λέγεται; ἢ ἐῶμεν, καὶ οὕτως
ἡμῶν τε αὐτῶν ἀποδεχώμεθα καὶ τῶν ἄλλων, ἐὰν μόνον φῇ τίς τι
ἔχειν οὕτω, ξυγχωροῦντες ἔχειν; ἢ σκεπτέον τί λέγει ὁ λέγων; —
Εὐθ. Σκεπτέον. Οἶμαι μέντοι ἔγωγε τοῦτο νυνὶ καλῶς λέγεσθαι.
ιβ'. Σωκ. Τάχ', ὦ 'γαθέ, βέλτιον εἰσόμεθα. Ἐννόησον γὰρ
τὸ τοιόνδε· ἆρα τὸ ὅσιον, ὅτι ὅσιόν ἐστι, φιλεῖται ὑπὸ τῶν θεῶν·
2 ἢ ὅτι φιλεῖται, ὅσιόν ἐστιν; — Εὐθ. Οὐκ οἶδ' ὅ,τι λέγεις, ὦ
Σώκρατες. — Σωκ. Ἀλλ' ἐγὼ πειράσομαι σαφέστερον φράσαι.
Λέγομέν τι φερόμενον καὶ φέρον, καὶ ἀγόμενον καὶ ἄγον, καὶ
ὁρώμενον καὶ ὁρῶν· καὶ πάντα τὰ τοιαῦτα μανθάνεις ὅτι ἕτε-
ρα ἀλλήλων ἐστί, καὶ ᾗ ἕτερα; — Εὐθ. Ἔγωγέ μοι δοκῶ μαν-
3 θάνειν. — Σωκ. Οὐκοῦν καὶ φιλούμενόν τι ἐστί, καὶ τούτου ἕτε-
ρον τὸ φιλοῦν; — Εὐθ. Πῶς γὰρ οὔ; — Σωκ. Λέγε δή μοι
πότερον τὸ φερόμενον, διότι φέρεται, φερόμενόν ἐστιν, ἢ δι' ἄλ-
λο τι; — Εὐθ. Οὐκ, ἀλλὰ διὰ τοῦτο. — Σωκ. Καὶ τὸ ἀγόμε-
4 νον δή, διότι ἄγεται· καὶ τὸ ὁρώμενον, διότι ὁρᾶται; — Εὐθ.
Πάνυ γε. — Σωκ. Οὐκ ἄρα διότι ὁρώμενόν γέ ἐστι, διὰ τοῦτο
ὁρᾶται· ἀλλὰ τοὐναντίον, διότι ὁρᾶται, διὰ τοῦτο ὁρώμενον·
οὐδὲ διότι ἀγόμενόν ἐστι, διὰ τοῦτο ἄγεται· ἀλλὰ διότι ἄ-
γεται, διὰ τοῦτο ἀγόμενον· οὐδὲ διότι φερόμενον, φέρεται· ἀλλὰ
5 διότι φέρεται, φερόμενον. Ἆρα κατάδηλον, ὦ Εὐθύφρον, ὃ βούλο-
μαι λέγειν; βούλομαι δὲ τόδε, ὅτι, εἴ τι γίγνεται, ἢ εἴ τι πάσχει
τι, οὐχ ὅτι γιγνόμενόν ἐστι, γίγνεται, ἀλλ' ὅτι γίγνεται, γιγνόμενόν
ἐστιν· οὐδὲ ὅτι πάσχον ἐστί, πάσχει, ἀλλ' ὅτι πάσχει, πάσχον
6 ἐστίν. Ἢ οὐ ξυγχωρεῖς οὕτως; — Εὐθ. Ἔγωγε. — Σωκ. Οὐ-
κοῦν καὶ τὸ φιλούμενον, ἢ γιγνόμενόν τι ἐστίν, ἢ πάσχον τι
ὑπό του; — Εὐθ. Πάνυγε. — Σωκ. Καὶ τοῦτο ἄρα οὕτως ἔχει,
ὥσπερ τὰ πρότερα· οὐχ ὅτι φιλούμενόν ἐστι, φιλεῖται ὑπὸ ὧν
φιλεῖται· ἀλλ' ὅτι φιλεῖται, φιλούμενον; — Εὐθ. Ἀνάγκη. —

των ἔστωσαν. 3. Ἐπανορθούμ.) Ἀττικῶς ἀντὶ Ἐπανορθώσομεν. — Οὐδέτερ. ἢ ἀμφότ.) Ἐννοεῖται, Εἰσίν.
4. Τὸ σὸν) Μέρος δηλ. — Καὶ τὸ ἐναντ.) Φαίην ἄν.

ιβ'. Τάχ', ὦ 'γαθ.) Σκεπτόμενοι δηλ. βέλτιον πάντως εἰσόμεθα.
2. Καὶ ᾗ Ἕτερα;) Καὶ κατὰ τί δηλ. ἐστὶν ἕτερα.
5. Ἔγωγε) Ξυγχωρῶ δηλ.

Ε. Ι. Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Σωκ. Τί δὴ οὖν λέγομεν περὶ τοῦ ὁσίου, ὦ Εὐθύφρον; ἀλλ᾽ ὅτι 7
φιλεῖται ὑπὸ τῶν θεῶν πάντων, ὡς ὁ σὸς λόγος; — Εὐθ. Ναί.
— Σωκ. Ἆρα διὰ τοῦτο, ὅτι ὅσιόν ἐστιν, ἢ δι᾽ ἄλλο τι; —
Εὐθ. Οὔκ· ἀλλὰ διὰ τοῦτο. — Σωκ. Διότι ἄρα ὅσιόν ἐστι, φι-
λεῖται, ἀλλ᾽ οὐχ ὅτι φιλεῖται, διὰ τοῦτο ὅσιόν ἐστιν; — Εὐθ.
Ἔοικε. — Σωκ. Ἀλλὰ μὲν δή, διότι φιλεῖται ὑπὸ τῶν θεῶν, 8
φιλούμενόν ἐστι καὶ θεοφιλές. — Εὐθ. Πῶς γὰρ οὔ; — Σωκ.
Οὐκ ἄρα τὸ θεοφιλὲς ὅσιόν ἐστιν, ὦ Εὐθύφρον, οὐδὲ τὸ ὅ-
σιον θεοφιλές, ὡς σὺ λέγεις, ἀλλ᾽ ἕτερον τοῦτο τούτου. — Εὐθ.
Πῶς δὴ σύ, ὦ Σώκρατες; — Σωκ. Ὅτι ὁμολογοῦμεν τὸ μὲν ὅ-
σιον διὰ τοῦτο φιλεῖσθαι, ὅτι ὅσιόν ἐστιν, ἀλλ᾽ οὐ, διότι φιλεῖ-
ται, ὅσιον εἶναι· ἢ γάρ; — Εὐθ. Ναί. — Σωκ. Τὸ δέ γε θεο- 9
φιλές, ὅτι φιλεῖται ὑπὸ τῶν θεῶν, αὐτῷ τούτῳ τῷ φιλεῖσθαι,
θεοφιλὲς εἶναι, ἀλλ᾽ οὐχ ὅτι θεοφιλές, διὰ τοῦτο φιλεῖσθαι. — Εὐθ.
Ἀληθῆ λέγεις. — Σωκ. Ἀλλ᾽ εἴγε ταὐτὸν, ὦ φίλε, ἦν, Εὐθύφρον, 10
τὸ θεοφιλὲς καὶ τὸ ὅσιον, εἰ μὲν διὰ τὸ ὅσιον εἶναι ἐφιλεῖτο τὸ ὅσιον·
καὶ διὰ τὸ θεοφιλὲς εἶναι ἐφιλεῖτο ἂν τὸ θεοφιλές· εἰ δὲ διὰ
τὸ φιλεῖσθαι ὑπὸ θεῶν τὸ θεοφιλές, θεοφιλὲς ἦν, καὶ τὸ ὅσιον ἂν
διὰ τὸ φιλεῖσθαι ὅσιον ἦν. Νῦν δὲ ὁρᾷς, ὅτι ἐναντίως ἔχετον, ὡς 11
παντάπασιν ἑτέρω ὄντε ἀλλήλων. Τὸ μὲν γάρ, ὅτι φιλεῖται, ἐστὶν
οἷον φιλεῖσθαι· τὸ δ᾽ ὅτι ἐστὶν οἷον φιλεῖσθαι, διὰ τοῦτο φιλεῖται.
Καὶ κινδυνεύεις, ὦ Εὐθύφρον, ἐρωτώμενος τὸ ὅσιον, ὅ,τι ποτέ ἐστι, 12
τὴν μὲν οὐσίαν μοι αὐτοῦ οὐ βούλεσθαι δηλῶσαι, πάθος δέ τι
περὶ αὐτοῦ λέγειν, ὅ,τι πέπονθε τοῦτο τὸ ὅσιον, φιλεῖσθαι ὑπὸ
πάντων τῶν θεῶν· ὅ,τι δὲ ὄν, οὔπω εἶπες. Εἰ οὖν σοι φίλον, 13
μή με ἀποκρύψῃ, ἀλλὰ πάλιν εἰπὲ ἐξ ἀρχῆς, τί ποτε ὂν τὸ
ὅσιον, εἴτε φιλεῖται ὑπὸ τῶν θεῶν, εἴτε ὁτιδὴ πάσχει. Οὐ
γὰρ περὶ τούτου διοισόμεθα· ἀλλ᾽ εἰπὲ προθύμως, τί ἐστι τό, τε
ὅσιον καὶ τὸ ἀνόσιον. — Εὐθ. Ἀλλ᾽, ὦ Σώκρατες, οὐκ ἔχω ἔ- 14
γωγε ὅπως σοι εἴπω ὃ νοῶ. Περιέρχεται γάρ πως ἀεὶ ἡμῖν,
ὃ ἂν ὑποθώμεθα, καὶ οὐκ ἐθέλει μένειν ὅπου ἂν ἱδρυσώμεθα
αὐτό. — Σωκ. Τοῦ ἡμετέρου προγόνου, ὦ Εὐθύφρον, ἔοικεν εἶ- 15
ναι, Δαιδάλου, τὰ ὑπὸ σοῦ λεγόμενα. Καὶ εἰ μὲν αὐτὸ ἐγὼ ἔλε-

---

7. Τί δὴ οὖν λέγομεν) Ἀντὶ μέλλοντος Ἀττικῶς. — Ἆρ᾽ ὅτι φιλ.) Ἆρα λέγομεν ὅτι φιλ.

8. Πῶς δὴ σύ, ὦ Σ.) Εννοεῖται Λέγεις.

9. Αὐτῷ τούτῳ τῷ φ.) Ἐλλείπει ἡ Ἐν.

11. Ἐστὶν οἷον) Ἐστὶν ἱκανὸν δηλ.

12. Φιλεῖσθαι) Ἐπεξήγησις· οἷον ὅτι τὸ ὅσιον πέπονθε τοῦτο· τὸ φιλεῖσθαι δηλ. — Ὅ, τι δὲ ὄ) Φιλεῖται ὑπὸ τῶν θεῶν.

15. Τοῦ ἡμετέρου προγ.) Ἀθηναῖος γὰρ ὁ Δαίδαλος, ἀγαλματοποιὸς ἄριστος κατὰ τοὺς χρόνους Μίνωος βασιλέως Κρήτης ἀκμάσας. Οὗτος λέγεται ἀγάλματα καὶ εἴδωλα κατασκευάσαι ἀφ᾽ ἑαυτῶν αὐτομάτως κινούμενα.

γον καὶ ἐτιθέμην, ἴσως ἄν με ἐπέσκωπτες ὡς ἄρα καὶ ἐμοὶ κατὰ τὴν ἐκείνου συγγένειαν τὰ ἐν τοῖς λόγοις ἔργα ἀποδιδράσκει, καὶ οὐκ ἐθέλει μένειν ὅπου ἄν τις αὐτὰ θῇ· νῦν δὲ (σαὶ γὰρ αἱ ὑποθέσεις εἰσὶν) ἄλλου δή τινος δεῖ σκώμματος. Οὐ γὰρ ἐθέλουσί σοι μένειν, ὡς καὶ αὐτῷ σοι δοκεῖ. — Εὐθ. Ἐ-
16 μοὶ δὲ δοκεῖ σχεδόν τι τοῦ αὐτοῦ σκώμματος, ὦ Σώκρατες, δεῖσθαι τὰ λεγόμενα. Τὸ γὰρ περιιέναι αὐτοῖς τοῦτο, καὶ μὴ μένειν ἐν τῷ αὐτῷ, οὐκ ἔγωγέ εἰμι ὁ ἐντιθείς· ἀλλὰ σύ μοι δοκεῖς ὁ Δαίδαλος· ἐπεὶ ἐμοῦ γε ἕνεκα ἔμενεν ἂν ταῦτα οὕτω. — Σωκ. Κινδυνεύω ἄρα, ὦ ἑταῖρε, ἐκείνου τοῦ ἀνδρὸς δεινό-
17 τερος γεγονέναι τὴν τέχνην τοσούτῳ, ὅσῳ ὁ μὲν τὰ αὑτοῦ μόνον ἐποίει οὐ μένοντα· ἐγὼ δὲ, πρὸς τοῖς ἐμαυτοῦ, ὡς ἔοικε, καὶ τὰ ἀλλότρια. Καὶ δῆτα τοῦτό μοι τῆς τέχνης ἐστὶ κομψότατον, ὅτι ἄκων εἰμὶ σοφός. Ἐβουλόμην γὰρ ἄν μοι τοὺς λόγους μένειν, καὶ ἀκινήτους ἱδρύσθαι, μᾶλλον ἢ πρὸς τῇ
18 Δαιδάλου σοφίᾳ τὰ Ταντάλου χρήματα γενέσθαι. Καὶ τούτων μὲν ἅδην.

ιγ΄. Ἐπειδὴ δέ μοι δοκεῖς σὺ τρυφᾶν, αὐτός σοι ξυμπροθυμήσομαι δεῖξαι, ὅπως ἄν με διδάξῃς περὶ τοῦ ὁσίου, καὶ μὴ προαποκάμῃς. Ἰδὲ γὰρ εἰ οὐκ ἀναγκαῖόν σοι δοκεῖ δίκαιον εἶναι πᾶν τὸ ὅσιον.
2 — Εὐθ. Ἔμοιγε. Σωκ. Ἆρ' οὖν καὶ πᾶν τὸ δίκαιον, ὅσιον; ἢ τὸ μὲν ὅσιον πᾶν, δίκαιον· τὸ δὲ δίκαιον οὐ πᾶν ὅσιον, ἀλλὰ τὸ μὲν αὐτοῦ ὅσιον, τὸ δέ τι καὶ ἄλλο; — Εὐθ. Οὐχ ἕπομαι, ὦ Σώκρα-
3 τες, τοῖς λεγομένοις. — Σωκ. Καὶ μὴν νεώτερός γ' ἐμοῦ εἶ, οὐκ ἔλαττον ἢ ὅσῳ σοφώτερος· ἀλλ', ὃ λέγω, τρυφᾷς ὑπὸ πλούτου τῆς σοφίας. Ἀλλ', ὦ μακάριε, ξύντεινε σαυτόν. Καὶ γὰρ οὐδὲ χαλεπὸν κατανοῆσαι ὃ λέγω· λέγω γὰρ δὴ τὸ ἐναντίον, ἢ ὁ ποιητὴς ἐποίησεν, ὁ ποιήσας,

---

Οὕτω γὰρ ἡρμόσατο αὐτῶν τοὺς πόδας, ὥστε τὸν ἕτερον τοῦ ἑτέρου προεκτείνεσθαι. Παλαίφατ. Μύθ. κβ΄.

18. Τὰ Ταντάλου) Τὰ Ταντάλου χρήματα βασιλέως Κορινθίων ἢ Φρυγίας, οὕτω περίφημά ἐστιν, ὥστε παρ' Ἕλλησιν εἰς παροιμίαν ἐγένοντο. Τὰ Ταντάλου χρήματα. Σουΐδ. — Ἄδην) Ὁ Ἡσύχιος μὲν φησίν· Ἄδην δαπανώμενον μὲν ἡδέως καὶ τὸ ἐς κόρον σημαίνει· φυλούμενον δὲ ἀδεῶς. Σουΐδας δέ. Ἄδην· ἅλις, ἢ εἰς κόρον, ἱκανῶς, ἀρκούντως.

ιγ΄. Τρυφᾶν) Τὸ τρυφᾶν ἐνταῦθα μεταφορικῶς εἴληπται σημαῖνον τὸ ἀνειμένον καὶ κεχαυνωμένον εἶναι. — Ἔμοιγε) Δοκεῖ δηλ.

2. Τὸ δέ τι) Τὸ Τὶ παρέλκει συνήθως δὲ ὡς ἀπὸ τοῦ ἀρσενικοῦ δῆλον. Ξενοφῶν γὰρ Κύρ. Παιδ. Α΄. δ΄. 15. Καὶ τοῦ μὲν καταγελῶντα αὐτὸν ὁρῶν εὐφραίνετο· τὸν δέ τινα καὶ ἐπαινοῦντα αὐτὸν ᾐσθάνετο οὐδ' ὁπωστιοῦν φθονερῶς.

3 Νεώτερός γ' ἐμοῦ) Οἷον· ὅσῳ ἐμοῦ εἶ, τοσούτῳ καὶ σοφώτερος. Τοιαύτην δ' ἔκφρασιν εὑρήσεις καὶ παρ' Αἰσχίν. Σωκρ. Β΄. β΄. Καὶ ἔστι πλέον πάντων πονηρότατος ἢ ὅσῳ πλουσιώτατος. — Ἀλλ' ὃ λέγω) Ἐπιδιόρθωσις. Καὶ ἵν' οὕτως εἴπω, τρυφᾷς ὑπὸ τοῦ πλούτου τῆς σοφ. Πλούτου δὲ σοφίας δῆλον ὅτι ἀφθονίαν τινὰ σοφίας σημαίνει. — Ὁ Ποιητὴς) Περὶ τῶν στίχων τούτων οὕτω φησὶν ὁ Σχολ. Ἀδυνα-

Ζῆνα δὲ τὸν θ' ἔρξαντα, καὶ ὃς τάδε πάντ' ἐφύτευσεν,
Οὐκ ἐθέλεις εἰπεῖν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.

Ἐγὼ οὖν τούτῳ διαφέρομαι τῷ ποιητῇ, εἴπω σοι ὅπῃ; — Εὐθ. 4
Πάνυ γε. — Σωκ. Οὐ δοκεῖ μοι εἶναι, ἵνα δέος ἔνθα καὶ αἰδώς.
Πολλοὶ γάρ μοι δοκοῦσι, καὶ νόσους καὶ πενίας καὶ ἄλλα πολ-
λὰ τοιαῦτα δεδιότες, δεδιέναι μέν, αἰδεῖσθαι δὲ μηδὲν ταῦτα,
ἃ δεδίασιν. Οὐ καὶ σοὶ δοκεῖ; Εὐθ. Πάνυ γε. — Σωκ. Ἀλλ' ἵνα 5
γε αἰδώς, ἔνθα καὶ δέος εἶναι. Ἐπεὶ ἔστιν ὅς τις αἰδούμενός τι
πρᾶγμα καὶ αἰσχυνόμενος, οὐ πεφόβηταί τε καὶ δέδοικεν ἅμα
δόξαν πονηρίας; — Εὐθ. Δέδοικε μὲν οὖν. — Σωκ. Οὐκ ἄρα 6
ὀρθῶς ἔχει λέγειν, ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς· ἀλλ', ἵνα μὲν
αἰδώς, ἔνθα καὶ δέος. Οὐ μέν τοι γε, ἵνα γε δέος, πανταχοῦ
αἰδώς. Ἐπὶ πλέον γὰρ οἶμαι δέος αἰδοῦς· μόριον γὰρ δέους αἰδώς, 7
ὥσπερ ἀριθμοῦ περιττόν. Ὥς τε οὐχ ἵνα περ ἀριθμός, ἔνθα καὶ
περιττόν. Ἵνα δὲ περιττόν, ἔνθα καὶ ἀριθμός. Ἕπῃ γάρ που
νῦν γε; — Εὐθ. Πάνυ γε. — Σωκ. Τὸ τοιοῦτον τοίνυν καὶ ἐκεῖ 8
λέγων ἠρώτων, ἆρα ἵνα δίκαιον, ἔνθα καὶ ὅσιον· ἢ ἵνα μὲν ὅσιον,
ἔνθα καὶ δίκαιον· ἵνα δὲ δίκαιον, οὐ πανταχοῦ ὅσιον. Μόριον γὰρ
τοῦ δικαίου τὸ ὅσιον. Οὕτω φῶμεν, ἢ ἄλλως σοι δοκεῖ; —
Εὐθ. Οὔκ· ἀλλ' οὕτω· φαίνῃ γάρ μοι ὀρθῶς λέγειν.

ιβ'. Σωκ. Ὅρα δὴ τὸ μετὰ τοῦτο. Εἰ γὰρ μέρος τὸ ὅσιον τοῦ
δικαίου, δεῖ δὴ ἡμᾶς, ὡς ἔοικεν, ἐξευρεῖν, τὸ ποῖον μέρος ἂν εἴη
τοῦ δικαίου τὸ ὅσιον. Εἰ μὲν οὖν σύ με ἠρώτας τι τῶν νῦν δή, 2
οἷον, ποῖον μέρος ἐστὶν ἀριθμοῦ τὸ ἄρτιον, καὶ τίς ὢν τυγχάνει
οὗτος ὁ ἀριθμός· εἶπον ἂν ὅτι ὃς ἂν μὴ σκαληνὸς ᾖ, ἀλλ' ἰσοσκε-

---

ἐν τῇ λέξει, ἵνα γὰρ δέος. Ἐπὶ τῶν κατὰ φόβον ἐπιεικῶν. Εἴρηται δὲ ἐκ τῶν Στασίνου Κυπρίων.

Ζῆνα δὲ τὸν ῥέξαντα, καὶ ὃς τάδε πάντ' ἐφύτευσεν,
Οὐκ ἐθέλειν εἰπεῖν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.

4. Εἴπω σοι ὅπῃ) Διαφέρομαι τῷ ποιητῇ τὸ σ' ὅπῃ, ἀντὶ κατὰ τί; — Οὐ δοκεῖ μοι) Ὥσπερ τῷ ποιητῇ δοκεῖ. — Μηδὲν) Κατὰ μηδέν, εἴτ' οὖν οὐδαμῶς.

5. Ἀλλ' ἵνα γε) Ἀλλὰ δοκεῖ μοι οὕτως ἔχειν· οἷον· ἵνα γε καὶ τλ. — Δόξαν) Αἰτιατικὴ πρὸς τὸ πεφόβηται, καὶ δέδοικεν.

7. Περιττόν) Ἄρτιοι μὲν ἀριθμοὶ λέγονται οἱ εἰς ἴσα δύο διαιρούμενοι, ὡς ὁ δύο, τέσσαρα, ἕξ, καὶ τλ. περιττοὶ δὲ οἱ μὴ διαιρεῖσθαι δυνάμενοι εἰς ἴσα δύο· οἷον ὁ τρία, ὁ πέντε, ὁ ἑπτὰ καὶ τλ. — Ἔπῃ γάρ που) Τοῖς λεγομένοις δηλ. ὡς ἐκ τοῦ 2 δῆλον.

8. Καὶ ἐκεῖ) Ἔνθα ἠρώτων εἰ πᾶν τὸ δίκαιον ὅσιον. 2.

ιβ'. Τὸ ποῖον) Τὸ ἄρθρον ὡς ἐν δευτέρᾳ ἐρωτήσει καθ' ἣν ὡρισμένον τι ἐρωτᾶται.

2. Μὴ σκαληνὸς ᾖ) Σκαληνὰ σχήματα ἐν γεωμετρίᾳ λέγονται, τῶν τριγώνων τὰ ἀνίσους ἔχοντα πάσας τὰς πλευρὰς οἷον τὰ ΑΒΓ. Ἰσοσκελῆ δέ, ὧν αἱ δύο πλευραί, αἳ καὶ σκέλη λέγονται, ἴσαι· οἷον τὸ ΔΕΖ. Κατὰ δὴ τοῦτον τὸν λόγον καὶ τῶν ἀριθμῶν οἱ μὲν ἄρτιοι, λέγονται ἰσοσκελεῖς, ὡς εἰς δύο μέρη ἢ σκέλη ἴσα διαιρούμενοι· οἷον ὁ τέσσαρα· εἰς δύο καὶ δύο· ὁ ἕξ, εἰς τρία καὶ τρία· κτλ. οἱ δὲ περιττοὶ σκαληνοί, ὡς διαιρούμενοι εἰς δύο· καὶ τὸ μὲν ἓν μέρος εἴτ' οὖν σκέλος μεῖζον ἔχοντες μονάδι-



3 λής· ἢ οὐ δοκεῖ σοι; — Εὐθ. Ἔμοι γε. — Σωκ. Πειρῶ δὴ καὶ σὺ
ἐμὲ οὕτω διδάξαι, τὸ ποῖον μέρος τοῦ δικαίου ὅσιόν ἐστιν· ἵνα καὶ
Μελίτῳ λέγωμεν μηκέθ' ἡμᾶς ἀδικεῖν, μηδ' ἀσεβείας γράφεσθαι,
ὡς ἱκανῶς ἤδη παρὰ σοῦ μεμαθηκότας, τάτε εὐσεβῆ καὶ ὅσια,
4 καὶ τὰ μή. Εὐθ. Τοῦτο τοίνυν ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, τὸ
μέρος τοῦ δικαίου εἶναι εὐσεβές τε καὶ ὅσιον, τὸ περὶ τὴν τῶν θεῶν
θεραπείαν· τὸ δὲ περὶ τὴν τῶν ἀνθρώπων, τὸ λοιπὸν εἶναι τοῦ
δικαίου μέρος.

ιέ. Σωκ. Καὶ καλῶς γέ μοι, ὦ Εὐθύφρον, φαίνῃ λέγειν· ἀλλὰ
2 σμικροῦ τινος ἔτι ἐνδεής εἰμι. Τὴν γὰρ θεραπείαν οὔπω ξυνίημι,
ἥντινα ὀνομάζεις. Οὐ γάρ που λέγεις γε, οἷαί περ καὶ αἱ περὶ τὰ
ἄλλα θεραπεῖαί εἰσι, τοιαύτην καὶ περὶ θεούς. Λέγομεν γάρ
που, οἷον φαμὲν, ἵππους οὐ πᾶς ἐπίσταται θεραπεύειν, ἀλλ' ὁ ἱπ-
3 πικός· ἢ γάρ; — Εὐθ. Πάνυ γε. — Σωκ. Ἡ γάρ που ἱππικὴ
ἵππων θεραπεία. — Εὐθ. Ναί. — Σωκ. Οὐ δέ γε κύνας πᾶς ἐπί-
σταται θεραπεύειν, ἀλλ' ὁ κυνηγετικός. — Εὐθ. Οὕτως. — Σωκ.
Ἡ γάρ που κυνηγετικὴ, κυνῶν θεραπεία. — Εὐθ. Ναί. — Σωκ.
4 Ἡ δέ γε βοηλατικὴ, βοῶν. — Εὐθ. Πάνυ γε. — Σωκ. Ἡ δὲ
δὴ ὁσιότης τε καὶ εὐσέβεια, θεῶν, ὦ Εὐθύφρον. Οὕτω λέγεις;
— Εὐθ. Ἔγω γε. — Σωκ. Οὐκοῦν θεραπεία γε πᾶσα ταὐτὸν
διαπράττεται, οἷον τοιόνδε· ἐπ' ἀγαθῷ τινι ἔστι καὶ ὠφελείᾳ τοῦ
θεραπευομένου; ὥσπερ ὁρᾷς δὴ ὅτι οἱ ἵπποι ὑπὸ τῆς ἱππικῆς
θεραπευόμενοι ὠφελοῦνται καὶ βελτίους γίνονται· ἢ οὐ δοκοῦσί σοι;
5 — Εὐθ. Ἔμοι γε. — Σωκρ. Καὶ οἱ κύνες γέ που, ὑπὸ τῆς κυνη-
γετικῆς, καὶ οἱ βόες ὑπὸ τῆς βοηλατικῆς, καὶ τἄλλα πάντα ὡ-
σαύτως. Ἢ ἐπὶ βλάβῃ οἴει τοῦ θεραπευομένου τὴν θεραπείαν
εἶναι; — Εὐθ. Μὰ Δί' οὐκ ἔγωγε. — Σωκρ. Ἀλλ' ἐπ' ὠφελείᾳ;
6 Εὐθ. — Πῶς δ' οὔ; — Σωκρ. Ἦ οὖν καὶ ἡ ὁσιότης, θεραπεία
οὖσα θεῶν, ὠφέλειά τέ ἐστι θεῶν, καὶ βελτίους τοὺς θεοὺς ποιεῖ;
καὶ σὺ τοῦτο ξυγχωρήσαις ἂν, ὡς, ἐπειδάν τι ὅσιον ποιῇς, βελ-
7 τίω τινὰ τῶν θεῶν ἀπεργάζῃ; — Μὰ Δί' οὐκ ἔγωγε. — Σωκρ.
Οὐδὲ γὰρ ἐγὼ, ὦ Εὐθύφρον, οἶμαί σε τοῦτο λέγειν· πολλοῦ καὶ
δέω. Ἀλλὰ τούτου δὴ ἕνεκα καὶ ἀνηρόμην, τίνα ποτὲ λέγεις τὴν
θεραπείαν τῶν θεῶν, οὐχ ἡγούμενός σε τοιαύτην λέγειν. — Εὐθ.
8 Καὶ ὀρθῶς γε, ὦ Σώκρατες. Οὐ γὰρ τοιαύτην λέγω. — Σωκ.

---

τὸ δὲ ἕτερον, ἔλαττον· οἷον· ὁ πέντε, εἰς τρία καὶ δύο διαιρούμενος· καὶ ὁ ἑπτὰ εἰς τέσσαρα καὶ τρία κτλ.

ιέ. 2. Λέγομεν γάρ που) Θεραπείας δηλ. καὶ περὶ τὰ ἄλλα. — Οἷον φαμὲν) Ἐπεξήγησις τὸ λέγομεν γάρ που.

4. Οἷον τοιόνδε) Οἷον τοιόνδε τι διαπράττεται πᾶσα θεραπεία· Ἔστι δηλονότι αὕτη ἐπ' ἀγαθῷ τινι καὶ θεραπεία κτλ.

5. Οὐκ ἔγωγ.) Οἴομαι δηλ.

7. Πολλοῦ καὶ δέω] Ἀντὶ παντάπασιν.

8. Εἶεν) Συγκατάθεσις τοῦτο τῶν εἰρη-

Εἶεν. Ἀλλὰ τίς δὴ θεῶν θεραπεία εἴη ἂν ἡ ὁσιότης; — Εὐθ. Ἥν περ, ὦ Σώκρατες, οἱ δοῦλοι τοὺς δεσπότας θεραπεύουσι. — Σωκ. Μανθάνω· ὑπηρετική τις ἄν, ὡς ἔοικεν, εἴη θεοῖς. — Εὐθ. Πάνυ μὲν οὖν.

ιϛ΄. Σωκ. Ἔχοις ἂν οὖν εἰπεῖν, ἡ ἰατροῖς ὑπηρετική, εἰς τίνος ἔργου ἀπεργασίαν τυγχάνει οὖσα ὑπηρετική; οὐκ εἰς ὑγιείας, οἴει;
— Εὐθ. Ἔγωγε. — Σωκρ. Τί δέ; ἡ ναυπηγοῖς ὑπηρετική, 2
εἰς τίνος ἔργου ἀπεργασίαν ὑπηρετική ἐστι; — Εὐθ. Δῆλον ὅτι, ὦ Σώκρατες, εἰς πλοίου. — Σωκ. Καὶ ἡ οἰκοδόμοις γέ
που εἰς οἰκίας; — Εὐθ. Ναί. — Σωκ. Εἰπὲ δή, ὦ ἄριστε· 3
ἡ δὲ θεοῖς ὑπηρετικὴ εἰς τίνος ἔργου ἀπεργασίαν ὑπηρετικὴ ἂν εἴη; Δῆλον γὰρ ὅτι σὺ οἶσθα, ἐπειδήπερ τά γε θεῖα κάλ-
λιστα φῂς εἰδέναι ἀνθρώπων. — Εὐθ. Καὶ ἀληθῆ γε λέγω, ὦ 4
Σώκρατες. — Σωκ. Εἰπὲ δὴ πρὸς Διός, τί ποτ' ἐστὶν ἐκεῖνο τὸ πάγκαλον ἔργον, ὃ οἱ θεοὶ ἀπεργάζονται, ἡμῖν ὑπηρέταις χρώ-
μενοι; — Εὐθ. Πολλὰ καὶ καλά, ὦ Σώκρατες. — Σωκ. Καὶ γὰρ 5
οἱ στρατηγοί, ὦ φίλε· ἀλλ' ὅμως τὸ κεφάλαιον αὐτῶν ῥᾳδίως ἂν εἴποις, ὅτι νίκην ἐν τῷ πολέμῳ ἀπεργάζονται· ἢ οὔ; — Εὐθ. Πῶς δ' οὔ; — Σωκ. Πολλὰ δέ γ' οἶμαι καὶ καλὰ καὶ οἱ γεωργοί· ἀλλ' ὅμως τὸ κεφάλαιον αὐτῶν ἐστι τῆς ἀπεργασίας, ἡ ἐκ τῆς
γῆς τροφή. — Εὐθ. Πάνυ γε. — Σωκ. Τί δὲ δή; τῶν πολλῶν 6
καὶ καλῶν, ἃ οἱ θεοὶ ἀπεργάζονται, τί τὸ κεφάλαιόν ἐστι τῆς ἀ-
περγασίας; — Εὐθ. Καὶ ὀλίγον σοι πρότερον εἶπον, ὦ Σώκρατες, 7
ὅτι πλείονος ἔργου ἐστὶν ἀκριβῶς ταῦτα πάντα ὡς ἔχει μαθεῖν· τόδε μέντοι σοι ἁπλῶς λέγω, ὅτι ἐὰν μὲν κεχαρισμένα τις ἐπίστηται τοῖς θεοῖς λέγειν τε καὶ πράττειν, εὐχόμενός τε καὶ θύων, ταῦτ' ἔστι τὰ ὅσια, καὶ σώζει τὰ τοιαῦτα τούς τε ἰδίους οἴκους καὶ τὰ κοινὰ τῶν πόλεων· τὰ δ' ἐναντία τῶν κεχαρισμένων, ἀσεβῆ, ἃ δὴ καὶ ἀνατρέπει ἅπαντα καὶ ἀπόλλυσι.

ιζ΄. Σωκ. Ἦ πολύ μοι διὰ βραχυτέρων, ὦ Εὐθύφρον, εἰ ἐ-
βούλου, εἶπες ἂν τὸ κεφάλαιον, ὧν ἠρώτων. Ἀλλὰ γὰρ ὡς 2

---

μένων, συναφὴ δὲ πρὸς τὰ μέλλοντα. Σουΐδ. — Ἥν περ) Θεραπείαν δηλ. καὶ ἔστιν ὡς ἐπιβατικῶς· ἔστι δὲ καὶ ἐλλειπτικῶς τὸ τοιοῦτον εἰπεῖν· οἷον· Καθ' ἥν περ.

ιϛ΄. 2. Δῆλον ὅτι) Δῆλόν ἐστιν ὅτι ἐστὶν ὑπηρετικὴ εἰς ἐργασίαν πλοίου.

3. Ἡ δὲ θεοῖς) Ὁ δὲ παρέλκει μέν, ἔστι δὲ μεταβατικός πως.

5. Καὶ γὰρ οἱ στρ.) Πολλὰ καὶ καλὰ ἐργάζονται δηλ. — Καὶ οἱ γεωργ.) Ἐργάζονται.

6. Τί δὲ δή;) Τὸ τὶ ἐνταῦθα περιττῶς κεῖται κατ' ἔμφασιν ἐρωτήσεως· ἤρκει γὰρ εἰπεῖν, τῶν δὲ πολλῶν κτλ. ἐννοείσθω οὖν εἰς λόγου ἀποπλήρωσιν τὸ λέγεις ἤτοι τοῦτό τι ἐν' ᾖ. Τί δὲ δὴ λέγεις. — Πρότερον) Ἐν ι. 3.

ιζ. Πολύ μοι διὰ βρ.) Ὑπερβατῶς· ἀντὶ διὰ πολὺ βραχυτέρων εἶπες ἄν μοι τὸ κεφάλαιον, εἰ ἐβούλου.

οὐ πρόθυμός με εἶ διδάξαι, δῆλος εἶ. Καὶ γὰρ νῦν, ἐπειδὴ
ἐπ' αὐτῷ ἦσθα, ἀπετράπου· ὃ εἰ ἀπεκρίνω, ἴσως ἂν ἤδη παρὰ
3 σοῦ τὴν ὁσιότητα ἐμεμαθήκειν. Νῦν δή, (ἀνάγκη γὰρ τὸν ἐ-
ρωτῶντα τῷ ἐρωτωμένῳ ἀκολουθεῖν, ὅπῃ ἂν ἐκεῖνος ὑπάγῃ,)
τί δὴ αὖ λέγεις τὸ ὅσιον εἶναι καὶ τὴν ὁσιότητα; οὐχὶ ἐπιστή-
μην τινὰ τοῦ θύειν τε καὶ εὔχεσθαι; — Εὐθ. Ἔγωγε. — Σωκ.
Οὐκοῦν τὸ θύειν, δωρεῖσθαί ἐστι τοῖς θεοῖς, τὸ δ' εὔχεσθαι,
4 αἰτεῖν τοὺς θεούς; — Εὐθ. Καὶ μάλα, ὦ Σώκρατες. — Σωκ.
Ἐπιστήμη ἄρα αἰτήσεως καὶ δόσεως θεοῖς ἡ ὁσιότης ἂν εἴη,
ἐκ τούτου τοῦ λόγου. — Εὐθ. Πάνυ καλῶς, ὦ Σώκρατες, ξυ-
5 νῆκας, ὃ εἶπον. — Σωκ. Ἐπιθυμητὴς γάρ εἰμι, ὦ φίλε, τῆς
σῆς σοφίας, καὶ προσέχω τὸν νοῦν αὐτῇ· ὥς τε οὐ χαμαὶ πε-
σεῖται, ὅ,τι ἂν εἴποις. Ἀλλά μοι λέξον, τίς αὕτη ἡ ὑπηρε-
σία ἐστὶ τοῖς θεοῖς; αἰτεῖν τε φῂς αὐτοὺς καὶ διδόναι ἐκείνοις;
— Εὐθ. Ἔγωγε.

ιή. Σωκ. Ἆρ' οὖν οὐ τό γε ὀρθῶς αἰτεῖν ἂν εἴη, ὧν δεό-
μεθα παρ' ἐκείνων, ταῦτα αὐτοὺς αἰτεῖν; — Εὐθ. Ἀλλὰ τί;
2 — Σωκ. Καὶ αὖ τὸ διδόναι ὀρθῶς, ὧν ἐκεῖνοι τυγχάνουσιν
δεόμενοι παρ' ἡμῶν, ταῦτα ἐκείνοις αὖ ἀντιδωρεῖσθαι; οὐ γάρ
που τεχνικόν γ' ἂν εἴη, δωροφορεῖν διδόντα τῳ ταῦτα, ὧν οὐ-
3 δὲν δεῖται. — Εὐθ. Ἀληθῆ λέγεις, ὦ Σώκρατες. — Σωκ. Ἐμπορι-
κή, ἄρα τις ἂν εἴη, ὦ Εὐθύφρον, τέχνη ἡ ὁσιότης θεοῖς καὶ ἀν-
θρώποις παρ' ἀλλήλων. — Εὐθ. Ἐμπορική, εἰ οὕτως ἥδιόν σοι ὀνο-
4 μάζειν. — Σωκ. Ἀλλ' οὐδὲν ἥδιον ἔμοιγε, εἰ μὴ τυγχάνει ἀληθὲς ὄν.
Φράσον δή μοι, τίς ἡ ὠφέλεια τοῖς θεοῖς τυγχάνει οὖσα ἀπὸ τῶν
δώρων, ὧν παρ' ἡμῶν λαμβάνουσιν. Ἃ μὲν γὰρ διδόασι, παντὶ
δῆλον. Οὐδὲν γάρ ἐστιν ἡμῖν ἀγαθὸν ὅ, τι ἂν μὴ ἐκεῖνοι δῶσιν· ἃ
δὲ παρ' ἡμῶν λαμβάνουσι, τί ὠφελοῦνται; ἢ τοσοῦτον αὐτῶν πλεο-
νεκτοῦμεν κατὰ τὴν ἐμπορείαν, ὥστε πάντα τὰ ἀγαθὰ παρ'
5 αὐτῶν λαμβάνομεν, ἐκεῖνοι δὲ παρ' ἡμῶν οὐδέν; — Εὐθ. Ἀλλ'
οἴει, ὦ Σώκρατες, τοὺς θεοὺς ὠφελεῖσθαι ἀπὸ τούτων, ἃ παρ'
ἡμῶν λαμβάνουσι; — Σωκ. Ἀλλὰ τί δήποτ' ἂν εἴη ταῦτα, ὦ
Εὐθύφρον, τὰ παρ' ἡμῶν δῶρα τοῖς θεοῖς; — Εὐθ. Τί δ' οἴει
ἄλλο, ἢ τιμή τε καὶ γέρας, καί, ὅπερ ἐγὼ ἄρτι ἔλεγον, χά-
6 ρις; — Σωκ. Κεχαρισμένον ἄρα ἐστίν, ὦ Εὐθύφρον, τὸ ὅσιον,
ἀλλ' οὐχὶ ὠφέλιμον, οὐδὲ φίλον τοῖς θεοῖς; — Εὐθ. Οἶμαι ἔ-
γωγε πάντων γε μάλιστα φίλον. — Σωκ. Τοῦτο ἄρ' ἐστὶν αὖ,
ὡς ἔοικε, τὸ ὅσιον τὸ τοῖς θεοῖς φίλον. — Εὐθ. Μάλιστά γε.

---

3. Νῦν δή) Μεταβατικὸς ὁ Δὴ κατὰ τὸν Δέ.

ιή. Ἀλλὰ τί;) Ἄλλο δηλ. εἴη ἢ τοῦτο.

ιθ'. Σωκ. Θαυμάσῃ οὖν ταῦτα λέγων, ἐάν σοι οἱ λόγοι φαί-
νωνται μὴ μένοντες, ἀλλὰ βαδίζοντες, καὶ ἐμὲ αἰτιάσῃ τὸν Δαί-
δαλον βαδίζοντας αὐτοὺς ποιεῖν, αὐτὸς ὢν πολύ γε τεχνικώ-
τερος τοῦ Δαιδάλου, καὶ κύκλῳ περιιόντας ποιῶν; ἢ οὐκ αἰ-
σθάνῃ ὅτι ὁ λόγος ἡμῖν περιελθὼν, πάλιν εἰς ταὐτὸν ἥκει; μέ- 2
μνησαι γάρ που ὅτι ἐν τῷ πρόσθεν τό, τε ὅσιον καὶ τὸ θεοφι-
λὲς οὐ ταὐτὸν ἡμῖν ἐφάνη, ἀλλ' ἕτερα ἀλλήλων· ἢ οὐδὲ μέ-
μνησαι; — Εὐθ. Ἔγωγε. — Σωκ. Νῦν οὖν οὐκ ἐννοεῖς ὅτι τὸ 3
τοῖς θεοῖς φίλον, φῂς ὅσιον εἶναι; Τοῦτο δ' ἄλλο τι ἢ θεοφιλὲς
γίγνεται; ἢ οὔ; — Εὐθ. Πάνυ γε. — Σωκ. Οὐκοῦν ἢ ἄρτι οὐ
καλῶς ὡμολογοῦμεν, ἢ εἰ τότε καλῶς, νῦν οὐκ ὀρθῶς τιθέμε-
θα. — Εὐθ. Ἔοικεν.

κ'. Σωκ. Ἐξ ἀρχῆς ἄρα ἡμῖν πάλιν σκεπτέον τί ἐστι τὸ
ὅσιον. Ὡς ἐγὼ, πρὶν ἂν μάθω, ἑκὼν εἶναι οὐκ ἀποδειλιάσω.
Ἀλλὰ μή με ἀτιμάσῃς, ἀλλὰ παντὶ τρόπῳ προσέχων τὸν νοῦν, 2
ὅτι μάλιστα νῦν εἰπὲ τὴν ἀλήθειαν. Οἶσθα γὰρ, εἴπερ τις ἄλ-
λος ἀνθρώπων καὶ οὐκ ἀφετέος ἀφετέος· εἶ, ὥσπερ ὁ Πρωτεὺς,
πρὶν ἂν εἴπῃς. Εἰ γὰρ μὴ εἴδησθα σαφῶς τό, τε ὅσιον καὶ τὸ 3
ἀνόσιον, οὐκ ἔστιν ὅπως ἄν ποτε ἐπεχείρησας ὑπὲρ ἀνδρὸς θη-
τὸς ἄνδρα πρεσβύτην πατέρα διωκάθειν φόνου· ἀλλὰ καὶ τοὺς
θεοὺς ἂν ἔδεισας παρακινδυνεύειν, μὴ οὐκ ὀρθῶς αὐτὸ ποιήσειας,
καὶ τοὺς ἀνθρώπους ᾐσχύνθης. Νῦν δὲ εὖ οἶδα ὅτι σαφῶς οἴει
εἰδέναι τό, τε ὅσιον καὶ μή. Εἰπὲ οὖν, ὦ βέλτιστε Εὐθύφρον, 4
καὶ μὴ ἀποκρύψῃ ὅ,τι αὐτὸ ἡγῇ. — Εὐθ. Εἰσαῦθις τοίνυν, ὦ
Σώκρατες· νῦν γὰρ σπεύδω ποι, καί μοι ὥρα ἀπιέναι. — Σωκ.
Οἷα ποιεῖς, ὦ ἑταῖρε; ἀπ' ἐλπίδος με καταβαλὼν μεγάλης ἀ-

---

ιθ'. Ποιεῖν) Ἀπὸ τοῦ αἰτιάσῃ καὶ πρὸς εἰδικὸν δηλ. ἀπαρέμφατον τὸ αἰτιῶμαι· οὕτω καὶ Δημοσθ. ἐν τῷ περὶ Στεφ. Οὗτος δὲ τῆς ἱερᾶς χώρας ᾐτιᾶτο εἶναι.

2. Ἐν τῷ πρόσθ.) Ἐν ιζ'. 11.

3. Ἢ οὔ;) Ἢ οὐχ' οὕτως ἔχει.

κ'. 2. Ἀλλὰ μή μ.) Ὁ Ἀλλὰ οὗτος μεταβατικός ἐστιν· ὁ δὲ ἑξῆς θετικὸς, ἡγουμένης τῆς διὰ τοῦ Μὴ ἄρσεως.

— Ὥσπερ ὁ Πρωτ.) Ἀγαμέμνων ἐπιστρέφων ἐκ Τροίας, εἰς Αἰγύπτου νῆσον ἀπεπλανήθη· ἀπορῶν δὲ πάντων, ἐντυγχάνει Εἰδοθέᾳ θυγατρὶ Πρωτέως Αἰγυπτίου, ἥτις διδάσκει αὐτὸν τὸν Πρωτέα ἐνεδρεύσαντα συλλαβεῖν, καὶ μὴ ἀφεῖναι, καί τοι μεταβαλλόμενον εἰς ζῶα, καὶ πῦρ, καὶ ὕδωρ, πρὶν ἢ ἐξειπεῖν αὐτῷ τί χρὴ ποιῆσαι· καὶ ὡς οἰκαδε ἐπανέλθοι· ὁ δὲ, συλλαβὼν, καί τοι λέοντα, καὶ δράκοντα, καὶ πάρδαλιν, καὶ σῦν, καὶ ὕδωρ, καὶ δένδρον γινόμενον, οὐκ ἀφῆκεν, ἀλλὰ κατεῖχε μέχρι πάντα αὐτῷ ἐδήλωσεν. Ὅμηρ. Ὀδύσ. Δ'. στίχ. 354 . . . 570.

3. Εἴδησθα) Ἐτυμολόγος. Εἴδησθα τὸ κοινότερον τῇ ει· τὸ δὲ Ἀττικώτερον τῷ η· εἰδεῖν γὰρ εἴδεις· καὶ κατ' ἐπέκτασιν τῆς θα, εἴδεισθα· καὶ Ἀττικῶς εἴδησθα. — Διωκάθειν) Ἀττικῶς ἀντὶ τοῦ Διώκειν. — Παρακινδυνεύειν) Ὥστε παρακινδυνεύειν· οἷον· ἐφοβήθης ἂν καὶ τοὺς θεοὺς, ᾐσχύνθης δ' ἂν καὶ τοὺς ἀνθρώπους, ἵνα παρὰ προαίρεσιν κινδυνεύσῃς μὴ ὀρθ. καὶ τλ. τὸ δὲ Μὴ δυστακτικὸν ὂν καὶ πρὸς ὁριστικὸν φέρεται κατὰ τὸ τριμερές.

4. Καί μοι ὥρα) Ἐστὶ ἀκ.

Ε.Υ.ΔΙΤΠ Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

πέρχῃ, ἣν εἶχον ὡς παρὰ σοῦ μαθὼν τά τε ὅσια καὶ μή, καὶ τῆς πρὸς Μέλιτον γραφῆς ἀπαλλάξομαι, ἐνδειξάμενος ἐκείνῳ ὅτι σοφὸς ἤδη παρ᾽ Εὐθύφρονος τὰ θεῖα γέγονα, καὶ ὅτι οὐκ ἔτι ὑπ᾽ ἀγνοίας αὐτοσχεδιάζω, οὐδὲ καινοτομῶ περὶ αὐτά, καὶ δὴ καὶ τὸν ἄλλον βίον ὅτι ἄμεινον βιωσοίμην.

## Β΄. ΑΠΟΛΟΓΙΑ ΣΩΚΡΑΤΟΥΣ.

### Ἠθικός.

α΄. Ὅ,τι μὲν ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, πεπόνθατε ὑπὸ τῶν ἐμῶν κατηγόρων, οὐκ οἶδα· ἔγωγ᾽ οὖν καὶ αὐτὸς ὑπ᾽ αὐτῶν ὀλίγου δεῖν ἐμαυτοῦ ἐπελαθόμην· οὕτω πιθανῶς ἔλεγον. Καίτοι
2 ἀληθές γε, ὡς ἔπος εἰπεῖν, οὐδὲν εἰρήκασι. Μάλιστα δὲ αὐτῶν ἓν ἐθαύμασα τῶν πολλῶν ὧν ἐψεύσαντο, τοῦτο, ἐν ᾧ ἔλεγον ὡς χρῆν εὐλαβεῖσθαι μὴ ὑπ᾽ ἐμοῦ ἐξαπατηθῆτε, ὡς δεινοῦ ὄντος λέγειν. Τὸ γὰρ μὴ αἰσχυνθῆναι, ὅτι αὐτίκα ὑπ᾽ ἐμοῦ ἐξελεγχθήσονται ἔργῳ, ἐπειδὰν μηδ᾽ ὁπωστιοῦν φαίνωμαι δεινὸς λέγειν, τοῦτό μοι ἔδοξεν αὐτῶν ἀναισχυντότατον εἶναι· εἰ μὴ ἄρα δεινὸν
3 καλοῦσιν αὐτοὶ λέγειν, τὸν τἀληθῆ λέγοντα. Εἰ μὲν γὰρ τοῦτο λέγουσιν, ὁμολογοίην ἂν ἔγωγε οὐ κατὰ τούτους εἶναι ῥήτωρ.
4 Οὗτοι μὲν οὖν, ὥσπερ ἐγὼ λέγω, οὐδὲν ἀληθὲς εἰρήκασιν· ὑμεῖς δέ μου ἀκούσεσθε πᾶσαν τὴν ἀλήθειαν. Οὐ μέντοι μὰ Δία, ὦ ἄνδρες Ἀθηναῖοι, κεκαλλιεπημένους γε λόγους, ὥσπερ οἱ τούτων, ῥήμασί τε καὶ ὀνόμασιν, οὐδὲ κεκοσμημένους, ἀλλ᾽ ἀκούσεσθε εἰκῇ
5 λεγόμενα τοῖς ἐπιτυχοῦσιν ὀνόμασι. Πιστεύω γὰρ δίκαια εἶναι, ἃ λέγω, καὶ μηδεὶς ὑμῶν προσδοκησάτω ἄλλως. Οὐδὲ γὰρ ἂν δήπου πρέποι, ὦ ἄνδρες, τῇ δε τῇ ἡλικίᾳ, ὥσπερ μειρακίῳ πλατ-

---

(*) Ἀπολογία μὲν Σωκράτους ὀνομάζεται ὁ λόγος οὗτος ὅτι Σωκράτης ὑποτίθεται ἀπολογούμενος πρὸς τοὺς κριτάς· Ἠθικὸς δέ, ὅτι περὶ ἠθῶν διαλαμβάνει. Ὃν δὴ ὅ,τε Διονύσιος ὁ Ἁλικαρνασσεὺς πολὺ θαυμάζει, καὶ Εὐστάθιος ἐν Ἰλιάδ. Π. Σελ. 1089, 62.

α΄. Ὀλίγου δεῖν) Τὸ παρ᾽ ἡμῖν ὀλίγον λείπει. Τοιοῦτο δὲ καὶ τὸ, μικροῦ δεῖν, παρὰ μικρόν, καὶ μικροῦ, χωρὶς τοῦ ῥήματος. Ἔστι δὲ τὸ Δεῖν ἀντὶ τοῦ Δέον κατὰ συναίρεσιν τοῦ ε καὶ ο εἰς ει· τὸ δὲ Δέον, ἀπόλυτος μετοχὴ κατὰ τὰς τῶν ἀπροσώπων. Ὡς ἔπος εἰπεῖν) Τὸ Ὡς συλληπτικόν· ἔχει δὲ ἐννοούμενον τὸ Δός, ἢ Δότε, ἐπιτρέψατε ὡς ἐν συντόμῳ εἰπεῖν· ὡς κατ᾽ ἔπος εἰπεῖν, ὡς ἐν ἑνὶ λόγῳ εἰπεῖν.

2. Ὡς χρῆν) Ἀντὶ Ὡς ἐχρῆν.
— Τοῦτό μοι ἔδοξεν) Τοῦτο τὸ μὴ αἰσχυνθῆναι· ὅτι ἐστὶ τὸ ἀναισχυντότατον αὐτῶν. — Δεινὸς λέγειν) Κατὰ τὸ λέγειν δηλ. τὰ γὰρ ἐπίθετα πρὸς αἰτιατικὴν προσδιορίζουσάν τι φέρονται κατ᾽ ἔλλειψιν τῆς Κατά· καὶ πρὸς ἀπαρέμφατον δὲ ὀνοματικὸν ὁμοίως. — Εἰμὴ ἄρα) Πλὴν ἐάν. Ἐξαιρετικὸν τὸ εἰ μή. — Εἰ μὲν) Τὸ εἰ μὲν οὐκ ἔχει ἀπόδοσιν. Ἐννοεῖται ἄρα, εἰ δὲ μὴ τοῦτο λέγουσι, ψεύδονται.

4. Ὥσπερ οἱ τούτων) Εἰσὶ λόγοι· τὸ γὰρ ὥσπερ ὀρθωτικό. — Ἀκούσεσθε) Ἐμοῦ λέγοντος δηλ. Οὐ λόγους κεκαλλωπισμένους, ἀλλ᾽ εἰκῇ λεγόμενα.

5. Τῇδε τῇ ἡλικίᾳ) Οὐ γὰρ πρέπει γέροντι, ὥσπερ μειρακίῳ καὶ τὰ

ΙΩΑΝΝΙΝΑ 2006